# ΛΟΓΟΙ

## ΕΚΦΩΝΗΘΕΝΤΕΣ ΕΝ ΔΙΑΦΟΡΟΙΣ ΙΕΡΟΙΣ ΠΑΙΔΕΥΤΗΡΙΟΙΣ

ὑπὸ

ΒΛΑΔΙΜΗΡΟΥ ΚΑΡΛΟΒΙΤΣ ΣΑΒΛΕΡ,

Γερουσιαστοῦ καὶ Ἑταίρου Αὐτοκρατορικοῦ Ἐπιτρόπου παρὰ τῇ Ἁγιωτάτῃ Διοικούσῃ Συνόδῳ πασῶν τῶν Ῥωσσιῶν.

---

Μεθερμηνευθέντες

ὑπὸ

ΙΕΡΟΜΟΝΑΧΟΥ ΘΕΟΦΙΛΟΥ ΠΑΣΧΑΛΙΔΟΥ,

Διδασκάλου τῆς Θεολογίας καὶ Βοηθοῦ Ἐπόπτου τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Πετρουπόλεως.

«Ὡς αἱ λέξεις μιᾶς καὶ τῆς αὐτῆς εὐχῆς, ψαλλομένης ἐν διαφόροις γλώσσαις, συνενοῦνται ἐν ἡδείᾳ ἁρμονίᾳ, οὕτω δεῖ καὶ τὰς καρδίας ἡμῶν συνενοῦσθαι τῇ ἀμοιβαίᾳ ἀγάπῃ, τῇ ἀδελφότητι, ἑνὶ φρονήματι, ἑνὶ πνεύματι ἐν τῇ διακονίᾳ τῷ Θεῷ, τῷ Βασιλεῖ καὶ τῇ Πατρίδι» (Β. Κ. Σάβλερ ἐν Λογ. VI).

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ

Ἐκ τοῦ Τυπογραφείου τῆς Ἁγιωτάτης Διοικούσης Συνόδου πασῶν τῶν Ῥωσσιῶν.

1900

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΚ
54

# ΑΓΓΕΛΙΑΙ ΕΚΔΟΣΕΩΝ ΕΠΙ ΦΙΛΑΝΘΡΩΠΙΚΩι ΣΚΟΠΩι.

Ἐφιέμενος τὸ ἐπ' ἐμοὶ νὰ συντελέσω κατ' ἐλάχιςον εἰς ἀναζωπύρησιν τοῦ ἠθικοθρησκευτικοῦ τῶν ὁμογενῶν μου αἰσθήματος, τοῦ μονονουχὶ ψυχομένου καὶ καταπίπτοντος ἕνεκα τοῦ νῦν πανταχοῦ, ὡς μὴ ὤφειλε, ἐπιπολάζοντος ψυχολέθρου πνεύματος τοῦ ὑλισμοῦ, ἔκρινα λίαν τελεσφόρον ἐπὶ τούτῳ τὴν ἐκ τοῦ Ῥωσσικοῦ εἰς τὴν καθ' ἡμᾶς διάλεκτον μετάφρασιν τοῦ συγγράμματος, τοῦ φιλοπονηθέντος ὑπὸ τοῦ ἀοιδίμου ἐπισκόπου Σαμάρων Εὐσεβίου ὑπὸ τὴν ἐπιγραφήν: «ΠΑΡΗΓΟΡΙΑ ΕΝ ΘΛΙΨΕΙ ΚΑΙ ΑΣΘΕΝΕΙΑι», ἵνα τὸ εὐσεβὲς τοῦτο πόνημα, τὸ πλῆρες ἀναγνωσμάτων παρηγορητικῶν ἅμα καὶ ἐποικοδομητικῶν, πρόχειρον γένηται καὶ ἐν τῇ Ἑλληνικῇ γλώσσῃ.

Εὔελπις δὲ εἰμί, ὅτι πάντες οἱ φιλόμουσοι ὁμογενεῖς καὶ ζηλωταὶ καθόλου τῶν καλῶν ἔργων θέλουσι προθυμηθῇ ἀσμένως νὰ ὑποστηρίξωσι διὰ τῆς χρηματικῆς συνδρομῆς τὴν ἔκδοσιν τοῦ ἐποικοδομητικοῦ τούτου βιβλίου, ἐὰν μάλιςα λάβωσιν ὑπ' ὄψει, ὅτι ἡ ἔκδοσις αὐτοῦ γίνεται πρὸς τῷ εἰρημένῳ καὶ ἐπὶ φιλανθρωπικῷ σκοπῷ: Τὸ ὑπολειφθησόμενον δηλονότι χρηματικὸν ποσὸν ἐκ τῶν συναχθησομένων συνδρομῶν μετὰ τὴν ἐξόφλησιν τῶν διὰ τὴν ἔκδοσιν τοῦ βιβλίου δαπανῶν, διαιρεθὲν εἰς τρία μέρη θέλει δωρηθῇ τὸ μέν, τῇ ἐν Χάλκῃ «Θεολογικῇ Σχολῇ» τῆς τοῦ Χριςοῦ Μ. Ἐκκλησίας, τὸ δέ, τῇ ἐν ἐπαρχίᾳ Καισαρείας «Ἱερατικῇ Σχολῇ», τὸ δέ, τῷ «Συλλόγῳ Ἀναπλάσεως».

Ὡς παράρτημα δὲ τοῦ περὶ οὗ ὁ λόγος συγγράμματος ἐπισυνάπτεται «Συλλογὴ Παρέργων» ἤτοι· α) Λόγοι τρεῖς τοῦ Σ. Ἀρχιεπισκόπου Χαρκόβου Ἀμβροσίου· β) Λόγος τοῦ Καθηγητοῦ τῆς Θεολογίας κ. Ἰ. Ἰ. Μαλισέβσκη· γ) Λόγος τοῦ Καθηγητοῦ τῆς Θεολογίας κ. Β. Θ. Πεβνίτσκη· δ) Ἀρχαιολογικὸν σκιαγράφημα περὶ ἑορτασμοῦ τοῦ νέου ἔτους· ε) Ἡ πραγματικότης τοῦ θανάτου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ (Μ. Μουρέτοβα)· ζ) Ἡ θρησκευτικότης—βάσις καὶ ἔρεισμα τῆς ἠθικότητος (Ἀ. Γουσέβου).

Τὸ ὅλον βιβλίον, ἐκτετυπωμένον ἐπὶ καλοῦ χάρτου μετὰ τῆς δεούσης προσοχῆς καὶ φιλοκαλίας, τιμᾶται μετὰ τοῦ παραρτήματος μὲν φράγκων χρυσῶν Πέντε (5), ἰδίᾳ δὲ ἕκαστον φράγκων χρυσῶν Τριῶν (3).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Αρ. εισ. 139522

# ΛΟΓΟΙ

## ΕΚΦΩΝΗΘΕΝΤΕΣ ΕΝ ΔΙΑΦΟΡΟΙΣ ΙΕΡΟΙΣ ΠΑΙΔΕΥΤΗΡΙΟΙΣ

Ὑπὸ

ΒΛΑΔΙΜΗΡΟΥ ΚΑΡΛΟΒΙΤΣ ΣΑΒΛΕΡ,

Γερουσιαστοῦ καὶ Ἑταίρου Αὐτοκρατορικοῦ Ἐπιτρόπου παρὰ τῇ Ἁγιωτάτῃ Διοικούσῃ Συνόδῳ πασῶν τῶν Ῥωσσιῶν.

---

Μεθερμηνευθέντες

Ὑπὸ

ΙΕΡΟΜΟΝΑΧΟΥ ΘΕΟΦΙΛΟΥ ΠΑΣΧΑΛΙΔΟΥ,

Διδασκάλου τῆς Θεολογίας καὶ Βοηθοῦ Ἐπόπτου τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Πετρουπόλεως.

«Ὡς αἱ λέξεις μιᾶς καὶ τῆς αὐτῆς εὐχῆς, ψαλλομένης ἐν διαφόροις γλώσσαις, συνενοῦνται ἐν ἡδεία ἁρμονία, οὕτω δεῖ καὶ τὰς καρδίας ἡμῶν συνενοῦσθαι τῇ ἀμοιβαία ἀγάπῃ, τῇ ἀδελφότητι, ἑνὶ φρονήματι, ἑνὶ πνεύματι ἐν τῇ διακονία τῷ Θεῷ, τῷ Βασιλεῖ καὶ τῇ Πατρίδι» (Β. Κ. Σάβλερ ἐν Λογ. VI).

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ..........

ΕΝ ΠΕΤΡΟΥΠΟΛΕΙ

Ἐκ τοῦ Τυπογραφείου τῆς Ἁγιωτάτης Διοικούσης Συνόδου πασῶν τῶν Ῥωσσιῶν.

1900

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Отъ С.-Петербургскаго Духовнаго Цензурнаго Комитета печатать дозволяется. С.-Петербургъ, Сентября 3 дня 1899 г.

Цензоръ Архимандритъ *Иннокентій.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

Τῷ ἐξοχωτάτῳ Γερουσιαστῇ

ΒΛΑΔΙΜΗΡΩι ΚΑΡΛΟΒΙΤΣ ΣΑΒΛΕΡ,

Ἑταίρῳ Αὐτοκρατορικοῦ Ἐπιτρόπου παρὰ τῇ Ἁγιωτάτῃ Διοικούσῃ Συνόδῳ πασῶν τῶν Ῥωσσιῶν.

Ἀναμφίλεκτον, ὅτι οἱ λόγοι, οὓς ἡ ἐξοχότης Σου ἔστιν ὅτε ἐκφωνεῖ, διαμπερὲς πνέοντες διακαοῦς ζήλου ὑπὲρ τῆς ἁγίας καὶ ἀμωμήτου ὀρθοδόξου πίστεως τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, περιέχουσι λίαν ἐμβριθεῖς ἠθικὰς νουθεσίας καὶ πατρικὰς παραινέσεις πρὸς τοὺς διδάσκοντάς τε καὶ διδασκομένους ἐν τοῖς ἱεροῖς παιδευτηρίοις τῆς Ῥωσσικῆς Ἐκκλησίας. Ἕνεκα τοῦ τοιούτου περιεχομένου τῶν λόγων, τῶν ὑπὸ τῆς ἐξοχότητός Σου ὑποτεθέντων κατὰ τὰ ἐν διαφόροις πόλεσι τοῦ ἀχανοῦς Ῥωσσικοῦ κράτους ἱερὰ παιδευτήρια, μεθερμηνεύσας εἰς τὸ Ἑλληνικόν, ὅσους εὗρον δεδημοσιευμένους ἐν τῷ ἐπισήμῳ ὀργάνῳ τῆς Ἁγιωτάτης Διοικούσης Συνόδου πασῶν τῶν Ῥωσσιῶν «Ἐκκλησιαστικαὶ Εἰδήσεις», δωροφορῆσαι ἔγνων τοῖς ἐμοὶ ὁμοφύλοις διδασκάλοις καὶ μαθηταῖς, τοῖς ἀσχολουμένοις περὶ τὴν ἱερὰν Θεολογίαν ἐν ταῖς ἀνὰ τὴν Τουρκίαν καὶ τὴν Ἑλλάδα Θεολογικαῖς καὶ Ἱερατικαῖς Σχολαῖς. Οὗτοι γὰρ συνεχῶς ἀναγινωσκόμενοι ὑπ' αὐτῶν ποιήσουσι τοὺς φιλοπόνους φιλοπονωτέρους, τοὺς φιλομαθεῖς φιλομαθεστέρους, τοὺς φιλοτίμους φιλοτιμοτέρους, καὶ ὅλως τοῖς μὲν ὑπὲρ ὀχυρώσεως καὶ στηρίξεως τῶν πιστῶν ἐν τῇ ὀρθοδόξῳ Χριστιανικῇ πίστει ἤδη δρῶσι διδασκάλοις τῆς Ἀνατολικῆς Ὀρθοδόξου Ἐκκλησίας ἐμπνεύσουσι ζῆλον καὶ προθυμίαν, τοῖς δὲ ἔτι προαλειφομένοις ἔσονται οὕτω διδακτι-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κώτατοι καὶ ὀνησιμώτατοι, ὡς τοῖς τῆς ἁγίας Ῥωσσικῆς Ἐκκλησίας, ἅτε τούτων τε καὶ ἐκείνων ὄντων ὁμοθρήσκων καὶ ἀγωνιζομένων τὸν αὐτὸν ὑπὲρ τῆς Ὀρθοδοξίας ἀγῶνα κατὰ τῶν πολλῶν καὶ ποικίλων, ἐσωτερικῶν τε καὶ ἐξωτερικῶν ἐχθρῶν αὐτῆς.

Τοιαύτης οὖν οὔσης τῆς αἰτίας τε καὶ προθέσεως τῆς ἀνὰ χεῖρας μεταφράσεως, προσάγω αὐτὴν μετὰ παῤῥησίας τῇ ἐξοχότητί Σου μικρὸν δεῖγμα βαθυτάτης εὐγνωμοσύνης, τιμῆς καὶ ἀφοσιώσεως. Διὸ δὴ δέξασθαι τὴν λιτὴν ταύτην προσφορὰν ἐκλιπαρῶ εὐμενῶς, εὐμενέστατε ἄνερ, εὐχόμενός Σοι ἄκραν καὶ ἀμετάπτωτον ὑγείαν, καὶ πολλὰ τὰ ἔτη ἐπ' ἀγαθῷ τῆς Ὀρθοδόξου Ἐκκλησίας καὶ τῆς φίλης πατρίδος Σου.

Τῆς Σῆς ἐξοχότητος ταπεινότατος
θεράπων καὶ εὐχέτης

Ἱερομόναχος ΘΕΟΦΙΛΟΣ ΠΑΣΧΑΛΙΔΗΣ.

Ἐν τῷ Ἐκκλησιαστικῷ Σεμιναρίῳ Πετρουπόλεως.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ______

# ΒΙΟΓΡΑΦΙΚΑΙ ΕΙΔΗΣΕΙΣ.

Ὁ κατέχων νῦν τὴν ὑψηλὴν θέσιν Ἑταίρου τοῦ Αὐτοκρατορικοῦ Ἐπιτρόπου τῆς Ἁγιωτάτης Συνόδου, ὁ μυστικὸς σύμβουλος Βλαδίμηρος Κάρλοβιτς Σάβλερ, ἐγεννήθη ἐν Μόσχᾳ, ἐν τῇ παροικίᾳ τῆς Ἐκκλησίας τῆς εἰκόνος τῆς ἐν Ρζέβῃ *) Θεομήτορος, τὴν 13-ην Νοεμβρίου 1845 ἔτους. Ὁ πατὴρ αὐτοῦ ἦν ἄρχων τῆς ἐπιτελείας τοῦ στρατοῦ, ἡ δὲ μήτηρ κτηματική, κυρία χωρίου τοῦ κυβερνείου Τούλων, τοῦ δήμου Κασσήρων, τῆς κώμης Κολτόβας. Ὑπὸ τὰς ἁβρὰς φροντίδας αὐτῆς ὁ Β. Κ. ἀνετράφη ἐν πνεύματι τῆς Ὀρθοδόξου Ἐκκλησίας καί, ἀγαπήσας ἐκ παίδων τὸν ναὸν τοῦ Θεοῦ, συχνάκις ἦν βοηθὸς τοῦ τῆς κώμης ἐκκλησιαστικοῦ ψάλτου, τελουμένης τῆς θείας λειτουργίας. Ζῶν τὸ θέρος ἐν τῷ εὐθέτῳ γωνιδίῳ τοῦ χωρίου αὐτῶν, αὐτὸς οὐ παρέλειπε ἑορτάσιμόν τινα λειτουργίαν, καὶ διὰ τοῦτο ἰδίᾳ ἠγαπᾶτο ὑπὸ τοῦ κλήρου, περὶ οὗ ἀγαθὴν μνήμην ὁ Β. Κ. διεφύλαξε μέχρι τοῦ νῦν.

Ὡς ἐκ Μόσχας ὢν τὴν γέννησιν, αὐτὸς καὶ τῆς ἀνωτάτης παιδεύσεως ἔτυχεν ἐν τῷ Πανεπιστημίῳ τῆς Μόσχας, ἐν ᾧ κατεγράφη τὸ 1863 ἔτος εἰς τὴν νομικὴν Σχολήν· τὸ δὲ 1867 ἔτος λαμπρῶς ἀπεφοίτησε μετὰ τοῦ βαθμοῦ «Candidat τοῦ Δικαίου», καὶ τὸ 1869 ἔτος ἐπιτυχῶς ὑπερήσπισε πραγματείαν εἰς βαθμὸν «Magister» ὑπὸ τὴν ἐπιγραφήν: «Παλαιότης τοῦ ποινικοῦ δικαίου».

*) Ἐνεφανίσθη τὸ 1539 ἔτος ἐν Ρζέβῃ, δήμῳ Τβέρης· τελεῖται δὲ ἡ μνήμη αὐτῆς τὴν 11 Ἰουλίου.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὸ 1872 ἔτος ἐν τῷ Πανεπιστημίῳ τῆς πατρίδος ἔτυχε τῆς ἕδρας τοῦ ποινικοῦ δικαίου, ὡς ὑφηγητὴς, ἀλλ' ἤδη κατὰ τὸ ἑπόμενον 1873 ἔτος μετέβη εἰς ὑπηρεσίαν εἰς τὸ δεύτερον τμῆμα τῆς οἰκείας γραμματείας (chancellerie) τῆς Αὐτοῦ Μεγαλειότητος, ὅπου διετέλει μέχρι τοῦ 1881 ἔτους. Κατὰ τοῦτο τὸ ἔτος ὁ Β. Κ. μετέβη εἰς τὴν ἀρχὴν τῆς Ἁγιωτάτης Συνόδου εἰς τὴν ὑπηρεσίαν τοῦ Νομικοῦ (jurisconsulte), εἶτα τὸ 1883 ἔτος κατέσχε τὴν θέσιν τοῦ διευθύνοντος τὴν γραμματείαν τῆς Ἁγιωτάτης Συνόδου. Ἐν ταύτῃ τῇ θέσει ὁ Β. Κ. ὑπηρέτησεν ἐπὶ δέκα ἔτη καὶ ἠδυνήθη λεπτομερῶς πεῖραν λαβεῖν τοῦ εὐρυτάτου καθιδρύματος τῆς Ἐκκλησιαστικῆς ἀρχῆς οὐ μόνον τοῖς ἐγγράφοις, ἀλλὰ δι' ἰδίων ἑαυτοῦ παρατηρήσεων καὶ μεθέξεως ἐν πᾶσι τοῖς ἐξέχουσι γεγονόσι τοῦ Ἐκκλησιαστικοῦ βίου ἐν Ῥωσσίᾳ. Ὁ Β. Κ. παντελῶς δύναται κληθῆναι ἄξιος συναγωνιστὴς τοῦ Κ. Π. Ποπεδονότσεβ καὶ ἐκτελεστὴς καὶ ἐξηγητὴς τῶν διαγραμμάτων αὐτοῦ. Χιλιάδες ἐγγράφων, εἰσερχομένων ἐκ διαφόρων χωρῶν τῆς εὐρείας πατρίδος παρὰ τῶν πανιερωτάτων ἀρχιερέων καὶ τῶν προϊσταμένων τῶν Μονῶν καὶ τῶν Ἐκκλησιῶν, περὶ διαφόρων ζητημάτων, ἀπαιτούντων ἐπιθεώρησιν καὶ ψήφισμα· ἑκατοντάδες καινῶν ζητημάτων, παρισταμένων ἀπροόπτων ἐν τῇ νομοθεσίᾳ ἢ χρηζόντων διασαφήσεως· δεκάδες ἐκτάκτων ἐπιθεωρήσεων τῶν Ἐκκλησιαστικῶν συνεδρίων· ὁδοιπορίαι διὰ σύγκλησιν καὶ ἔναρξιν διαφόρων συνάξεων, οἷαι αἱ συνελεύσεις τῶν περιχώρων ἀρχιερέων ἐν Καζάν, Κιέβῳ καὶ Ἰρκούτσκῃ, αἱ συνάξεις τῶν ἐπαρχιακῶν ἱεραποστόλων καὶ αἱ συνελεύσεις τῶν ἐργατῶν τῶν σχολῶν τῶν Ἐκκλησιαστικῶν ἐνοριῶν· ἡ ἐπίσκεψις τῶν Ἐκκλησιαστικῶν ἐκπαιδευτηρίων· ἡ σειρὰ μέτρων κατὰ τῶν σχισματικῶν καὶ τῶν αἱρετικῶν καὶ καθόλου ἡ ἐπιτεταμένη ὁρμὴ οὐ μόνον πρὸς τὸ διακόψαι τὴν περαιτέρω διάδοσιν τῶν θρησκευτικῶν πλανῶν, ἀλλὰ καὶ πρὸς τὸ ἐπιστρέψαι εἰς τὸν κόλπον τῆς ἁγίας Ἐκκλησίας τοὺς ἐκπεπτωκότας ἀπ' αὐτῆς· τέλος ἡ πολυετὴς μετοχὴ αὐτοῦ ὡς βοηθοῦ τοῦ Προέδρου τοῦ Σχολειακοῦ Συμβουλίου ἐν τῇ Ἁγιωτάτῃ Συνόδῳ, πάντα ταῦτα ἀπαιτοῦσιν ἀσυνήθη ἐνέργειαν καὶ ἀτρύτους πόνους, καὶ ὁ Β. Κ. προθύμως φέρει ἐν ἑαυτῷ τὸ φορτίον τῶν συνηνωμένων αὐτοῖς τοῖς πόνοις φροντίδων καὶ μεριμνῶν. Ἂν ἐπισυνάψωμεν τούτοις τὰ χαρίεντα αὐτοῦ προσόντα,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΚΡΗΤΗΣ

τὴν φιλοπροσηγορίαν καὶ τὴν φιλοφροσύνην, μεθ' ὧν αὐτὸς ἀκροᾶται τῶν πρὸς αὐτὸν αἰτήσεων καὶ παραιτήσεων, τέλος τὴν ἑτοιμότητα, μεθ' ἧς ἀπαντᾷ τῇ ἀνάγκῃ καὶ τῇ συμφορᾷ, οὐ μόνον ὡς ἐπίσημον πρόσωπον, ἀλλὰ καὶ ὡς πρόεδρος καὶ μέλος τούτου ἢ τοῦ ἄλλου ἀγαθοεργοῦ συλλόγου, τότε ἕξομεν ἀρκούντως ἐναργῆ παράστασιν τῆς συμπαθητικῆς προσωπικότητος τοῦ Βλαδιμήρου Κάρλοβιτς Σάβλερ. (См. Русскій Паломникъ. Годъ XI. № 47. 25 Ноября 1895 года. Стран. 737—738).

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. ............

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ



Β. Κ. Σάβλερ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

# I.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐπισκέψει τῆς ἐν τῇ ἐπαρχίᾳ Τσερνιγόβου Σχολῆς τῶν θηλέων, πρὸς τὰς ἀπολυομένας μαθητρίας τῆς ΣΤ.΄ τάξεως, τὴν 27 Μαΐου 1895 ἔτους.

Ὑπερήδομαι, ὅτι ἔτυχον παρὼν ἐν τῇ δοκιμασίᾳ τῆς ἀπολυομένης τάξεως, ὅτι ἔχω τὸ δυνατὸν εἰπεῖν ὑμῖν, ταῖς ἀπολυομέναις ἐκ τῆς Σχολῆς, λέξεις τινας καὶ ἐκφράσαι ὑμῖν τὰς εὐχάς μου. Συγχαίρων ὑμῖν ἐπ' τῇ ἀποπερατώσει τῆς σειρᾶς τῶν μαθημάτων, εἰλικρινῶς εὔχομαι, ὅπως ἡ προσκτηθεῖσα ὑφ' ὑμῶν γνῶσις τῶν ἀληθειῶν τῆς ὀρθοδόξου περὶ πίστεως διδασκαλίας ᾖ ἀσφαλὲς κτῆμα ὑμῶν καθ' ἅπαντα τὸν ἑξῆς βίον. Σπουδάσατε, ὅπως αὗται αἱ ἀρχαὶ τῆς δικαιοσύνης καὶ τῆς ἀγάπης, αἵτινες ἦσαν τεθειμέναι ὡς βάσις τῆς ἀγωγῆς ὑμῶν, ὦσιν ἀεὶ καὶ ἐν παντὶ χειραγωγοὶ ἀρχαὶ τῆς δράσεως ὑμῶν. Ἐνταῦθα ἐγγὺς τοῦ ἁγίου ναοῦ ὑμεῖς διήλθετε τὰ κρείσσονα ἔτη καὶ ἐπλουτίσθητε τοῖς θησαυροῖς τῆς γνώσεως. Κινούμεναι ὑπὸ εὐγνωμοσύνης ἐπὶ τῷ ἐπιτευχθέντι ὑφ' ὑμῶν ἀγαθῷ, μετ' ἀγάπης ἐργάζεσθε διὰ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ καὶ πρὸς ὄφελος τῶν ἐλαχίστων ἀδελφῶν. Ὑμεῖς ἐν τάχει διασπαρήσεσθε κατὰ κώμας καὶ χωρία. Ὁ βίος ὁ ἐν τῷ χωρίῳ δύναται φανῆναι ὑμῖν ἀνιαρός· ἐν τῷ χωρίῳ ἔσεσθε ἐστερημένοι ἐπιτηδείων τινῶν, εἰς ἃ ἴσως εἰθίσθητε ἐνταῦθα. Ἀλλὰ τοῦτο μὴ ταραττέτω ὑμᾶς. Μὴ τίθετε τὴν εὐτυχίαν ἐν τοῖς ἐπιτηδείοις καὶ τῇ ἐπισφαλεῖ χαρᾷ τοῦ βίου τούτου. Μεριμνᾶτε μάλιστα περὶ τῆς ὠφελείας, ἣν ὑμεῖς, πεφωτισμέναι τὸν νοῦν καὶ πλούσιαι τῇ πίστει, δύνασθε προσενεγκεῖν. Μὴ σπεύδετε ἀποχωρισθῆναι ἀπὸ τοῦ χωρίου, μὴ τείνετε εἰς τὰς μεγάλας πόλεις. Μὴ ὑπολαμβάνετε, ὅτι ἐν αὐταῖς ἰδίᾳ οἱ εὐτυχεῖς βιοῦσιν. Πανταχοῦ ἔστιν ἐργάζεσθαι, πανταχοῦ ἔστιν ἐφαρμόζειν τῇ πράξει τὰς προσκτηθείσας γνώσεις. Διασπαρεῖσαι κατὰ κώμας καὶ χωρία ἀφιερώσατε ἑαυτὰς τῷ ἀγαθῷ ἔργῳ τοῦ φωτισμοῦ. Τὸ φῶς τῆς ὀρθῆς τοῦ Χριστοῦ διδασκαλίας εἰσενέγκατε εἰς τὴν κοινωνίαν, ὅπου μέλλετε ζῆν. Διδάσκετε τοὺς παῖδας προσεύ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χεσθαι, ἄγετε αὐτοὺς εἰς τοὺς ναοὺς τοῦ Θεοῦ, αἰνεῖτε καὶ δοξάζετε σὺν αὐτοῖς τὸν Χριστὸν, ἐθίζετε αὐτοὺς εἰς τὴν τάξιν, τὴν εὐσυνείδητον ἐργασίαν, νουθετεῖτε αὐτοὺς τοῖς κανόσι τῆς χριστιανικῆς εὐσεβείας. Βοηθεῖτε ταῖς μητράσιν ὑμῶν καὶ τοῖς συγγενέσιν ἐν τῷ κατ' οἶκον βίῳ, ἔστε πρόθυμοι εἰς πᾶν ἀγαθὸν ἔργον καὶ οὐκ ἔσται ὑμῖν καιρὸς ἀνιᾶσθαι. Ἡ ἀνία φεύξεται ἀφ' ὑμῶν, ὑμεῖς δὲ πρὸς χαρὰν πάντων τῶν οἰκείων ὠφελήσετε καὶ τοὺς πλησίον, καὶ τὴν κοινωνίαν, καὶ τὴν Ἐκκλησίαν καὶ τὸ Κράτος. (См. Черниговскія Епархіальныя Извѣстія за 1895 г. № 15. Часть неоффиціальная. Стран. 458—459).

---

## II.

# ΛΟΓΟΣ

## ἐπὶ τῇ ἐπισκέψει τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Τσερνιγόβου, πρὸς τοὺς μαθητὰς τῆς ΣΤ.' τάξεως, τὴν 28 Μαΐου 1895 ἔτους.

Ἐγὼ οὐ μέλλω λέγειν ὑμῖν, κύριοι, περὶ τῶν ποιμαντικῶν καθηκόντων, περὶ ὧν ἐν καιρῷ ἐπαρκῶς ἔλεξαν ὑμῖν. Ἐν οὐ πολλαῖς λέξεσιν ἐρῶ περὶ τῆς σημασίας τῆς Σχολῆς τῆς Ἐκκλησιαστικῆς παροικίας καὶ περὶ τοῦ ἔργου, εἰς ὃ ὑμεῖς καλεῖσθε. Ἀποφοιτῶντες πολλοὶ ἐξ ὑμῶν μέλλουσι διατρίβειν περὶ τὴν ἐν τῇ Σχολῇ διδασκαλίαν. Ἐν ὑμῖν, τοῖς πλήρεσι ζωϊκῶν δυνάμεων καὶ εὖ παρεσκευασμένοις, ἐλπίζομεν βλέπειν ἐκείνην τὴν συνοδίαν τῶν φωτιστῶν, οἵτινες ἀσμένως προσοίσουσι τὴν ἐργασίαν, τὰς γνώσεις αὐτῶν πρὸς ὄφελος τοῦ λαοῦ, καὶ μετ' ἀγάπης ἀφιερώσουσιν ἑαυτοὺς τῷ ἔργῳ τῆς διδασκαλίας. Ἡ μόρφωσις τοῦ λαοῦ μέγα καὶ ἅγιόν ἐστιν ἔργον. Διακονοῦντες αὐτῷ, ὑμεῖς ἐπωφελῶς διακονήσετε τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ καὶ τῇ πατρίδι. Διὰ τῆς Σχολῆς ὑμεῖς ὡς διδάσκαλοι, ὕστερον δὲ καὶ ὡς ποιμένες μέγα δύνασθε πρὸς τὸν πνευματικὸν βίον τοῦ λαοῦ, δύνασθε ἐπιτυχῶς ἀγωνίζεσθαι πρὸς τὰς κακίας, τὰς προσούσας αὐτῷ, τὴν μέθην, τὸν κῶμον καὶ τὴν ἀγροικίαν· δύνασθε συνεργεῖν τῇ ὑλικῇ εὐεξίᾳ αὐτοῦ, καὶ τὸ κυριώτατον—ἡ Σχολὴ βοηθήσει ὑμῖν στηρίξαι ἐν τῷ λαῷ τὴν γνῶσιν τῶν θεμελιωδῶν ἀληθειῶν τῆς πίστεως τοῦ Χριστοῦ καὶ τοὺς κανόνας τῆς χριστιανικῆς εὐσεβείας. Ἐμφυτεύετε ἐν ταῖς καρδίαις τῶν πιστευόντων ἀγάπην πρὸς τὸν Θεὸν καὶ τοὺς πλησίον, γνωστὸν ποιεῖτε αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ, φανερὸν ποιεῖτε αὐτοῖς τὸ μεγαλεῖον τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διηγεῖσθε περὶ τοῦ βίου καὶ τῶν ἔργων τῶν πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας, ἱστορεῖτε τὴν δόξαν τῶν μαρτύρων. Οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀκούοντες ὑμῶν γνώσονται, πόσον μεγάλη εὐτυχία ἐστὶν ἀνήκειν τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ. Στηριζόμενοι ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς πίστεως, οἱ ἄνθρωποι ἀεὶ μᾶλλον μέλλουσι τιμᾶν τοῦτο τὸ ὕψιστον ἀγαθὸν τῆς ζωῆς. Ὁ πεφωτισμένος τῇ πίστει οὐκ ἀποστήσεται αὐτῆς, καὶ ὡς οἱ ὀρθόδοξοι πρότερον τῷ αἵματι ἐμαρτύρουν περὶ τῆς δυνάμεως τῆς πίστεως αὐτῶν, οὕτω καὶ ἐν τῷ μέλλοντι ἀναμφιλέκτως ἔσονται ἕτοιμοι θεῖναι τὴν ζωὴν αὐτῶν ὑπὲρ τῆς πίστεως τοῦ Χριστοῦ. Ἀλλ' ἐπὶ τούτῳ ἀνάγκη ἐν παντὶ τόπῳ καὶ ἀεὶ διδάσκειν τὸν λαὸν τὰς ἀληθείας τῆς πίστεως, ἔμπειρον ποιῆσαι αὐτὸν τοῦ πλούτου καὶ τοῦ κάλλους τῆς θείας λατρείας καὶ τῶν ὑμνῳδιῶν τῆς Ὀρθοδόξου Ἐκκλησίας· Δέον ἐξηγεῖσθαι τῷ λαῷ ἡμῶν, ὅτι, εἰ αὐτὸς ἔνδοξος, ἰσχυρὸς καὶ δυνατός, τοῦτο αὐτὸς ὀφείλει τῇ ὀρθοδόξῳ πίστει· αὐτὴ καὶ τοὺς βασιλεῖς ἡμῶν ἐμεγάλυνε καὶ τὴν χώραν ἐδόξασε.

Μὴ ταραττέτω ὑμᾶς ἡ πενία καὶ ἡ μὴ ἐπαγωγὸς κατασκευὴ τοῦ διδασκάλου τοῦ χωρίου. Θηρεύοντές τινες τὰ ἴδια ἑαυτῶν κέρδη, τάσσονται εἰς μᾶλλον προσοδικὰς καὶ ἐξησφαλισμένας ὑπηρεσίας ἐν γραφείοις τραπεζιτῶν, ἐν ἐπιτροπείαις τῶν σιδηροδρόμων καὶ ἐν διαφόροις διοικήσεσιν. Ἡ ὑπηρεσία ἐκεῖ φέρει μείζω μισθόν. Ἀλλ' ὁ μείζων μισθὸς οὐκ ἀεὶ μᾶλλον ἱκανὸν ποιεῖ τὸν ἐφιέμενον ἐν συνειδήσει ἐργάζεσθαι πρὸς κοινὸν ὄφελος. Πᾶσα τιμία ἐργασία ἀξία σεβασμοῦ, ἀλλ' ἡ ἐργασία ἡ πρὸς φωτισμὸν τοῦ λαοῦ συνῳδὰ τῇ διδασκαλίᾳ τῆς Ὀρθοδόξου Ἐκκλησίας ἐστὶν ἐργασία λίαν σεπτή. Ἡ μνήμη πολλῶν τιμίων ἀνδρῶν ἀφανίζεται σὺν τῇ ἡμέρᾳ τῆς κηδείας αὐτῶν, ἀλλὰ τὸ ἐν προσευχαῖς μνημόσυνον τῶν διδασκάλων, τῶν φωτισάντων τῷ φωτὶ τῆς ἀληθοῦς διδασκαλίας τὰς καρδίας τῶν μαθητῶν, ἐπὶ μακρὸν ἐπιζῇ τῷ θανάτῳ τῶν διδασκάλων. Εἰκῇ ὁμοίως ἐπάγεταί τινας ὁ ἐν πόλει βίος. Ἡ δρᾶσις τῶν ἀνθρώπων ἐν ταῖς πόλεσιν ἀπόλλυται ἐν τῷ εὑρεῖ χειμάῤῥῳ τοῦ ἐν πόλει βίου, οἱ καρποὶ αὐτῆς πολλάκις ἀθήρευτοι. Ὅλως ἄλλην ἀξίαν ἔχει ἡ φωτιστικὴ δρᾶσις τῶν ποιμένων καὶ τῶν διδασκάλων· αὐτοὶ μετ' αὐταπαρνήσεως ἀφιεροῦντες ἑαυτοὺς τῷ εὐγενεστάτῳ ἔργῳ τῆς διδασκαλίας τοῦ λαοῦ, δύνανται ἔχειν σπανίαν παρηγορίαν χαίρειν ἐπὶ τοῖς καρποῖς τῶν μόχθων αὐτῶν. Διαλεγομένῳ ὑμῖν, δοκεῖ μοι, ὅτι ὁρῶ ἐνώπιόν μου τὸν γνωστὸν ἴσως καὶ ὑμῖν, τὸν μεταστάντα ἀείμνηστον φίλον μου πατέρα πρωθιερέα Ἰωάννην Ναούμοβιτς. Ὁρῶν τὸ χαλεπὸν τῆς ἠθικῆς καὶ πάντων τῶν ὑπαρχόντων τοῦ λαοῦ αὐτοῦ, αὐτὸς μετ' ἀγάπης ἀφιέρωσεν ἑαυτὸν ταῖς φροντίσι περὶ ἀναγεννήσεως αὐτοῦ. Ἕνεκα τῆς ἀφοσιώσεως τῇ Ἐκκλησίᾳ καὶ τῆς ἀγάπης πρὸς τὸν λαὸν αὐτὸς ὑπεβλήθη ποικίλοις διωγμοῖς, φυλακῇ καὶ δὴ ἐξορίᾳ ἐκ τῆς πατρίδος. Ἐν ἓξ ἔτεσι διαμονῆς ἐν τῇ παροικίᾳ αὐτὸς ἠδυνήθη πρᾶξαι πολλά. Ταχθέντος αὐτοῦ εἰς τὴν παροικίαν, οἱ εἰδότες γράμματα σχεδὸν οὐχ ὑπῆρχον. Πάντας ἀπὸ μικροῦ μέχρι μεγάλου αὐτὸς ἐδίδαξεν ἀναγινώσκειν καὶ γράφειν. Ὅλην τὴν παροικίαν ἐδίδαξε τὴν ἁρμονικὴν Ἐκκλησιαστικὴν ὑμνῳδίαν. Τὰ καπηλεῖα ἐκλείσθησαν, ἀντικατέστησεν αὐτὰ ἡ Σχολὴ καὶ τὸ ἀναγνωστήριον. Ὁ σύλλογος τῆς ἐγκρατείας ἔτυχε κανονισμοῦ, γενομένου προτύπου διὰ τοὺς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κανονισμοὺς τῶν ὁμοειδῶν ἐν Γαλικίᾳ συλλόγων. Τὰς ὥρας τῆς σχολῆς ὁ ἄληστος πατὴρ Ἰωάννης ἀφιέρου τῇ συγγραφῇ βιβλίων διὰ τὸν λαόν. Πρό τινων ἐτῶν αὐτὸς ἀπεβίωσεν, ἀλλ' ἡ μνήμη τοῦ δικαίου ζῇ μετ' ἐγκωμίων, καὶ ὁ βίος αὐτοῦ ἄξιος μιμήσεως.

Ἄρα, κύριοι, ἐφ' ὑμᾶς τοὺς ἀποπερατώσαντας τὴν σειρὰν τῶν μαθημάτων τοῦ Σεμιναρίου ἀνατίθεται ἡ ἐλπίς, ὅτι ὑμεῖς ἀποδώσετε τὰς δυνάμεις ὑμῶν εἰς διακονίαν τῇ ἐκθρεψάσῃ ὑμᾶς Ὀρθοδόξῳ Ἐκκλησίᾳ καὶ μετ' ἀγάπης ἀφιερώσετε ἑαυτοὺς τῷ ἔργῳ τῆς διδασκαλίας τοῦ λαοῦ. Νῦν οἱ καιροὶ ἰδίᾳ ἐπὶ τούτῳ εὖ ἔχουσιν. Νῦν ἡμεῖς ὁρῶμεν τελεσθὲν ἐκεῖνο, περὶ οὗ πρὸ δέκα ἐτῶν μόλις ἦν δυνατὸν ἀναπλάσσειν. Ἐκ τοῦ ὕψους τοῦ Αὐτοκρατορικοῦ θρόνου οὐ μόνον καλεῖται ὁ κλῆρος εἰς τὸ ἔργον τῆς προκαταρκτικῆς μορφώσεως τοῦ λαοῦ, ἀλλὰ τῇ ἐπιδόσει ἐκ τῶν χρημάτων τοῦ Αὐτοκρατορικοῦ ταμείου ἐτησίως 3,270,000 ρουβλίων διὰ τὰς ἀνάγκας τῶν Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν αὐταὶ κτῶνται ἀνάλογον ἀφθονίαν πόρων, ἐξασφαλίζουσαν τὴν περαιτέρω ἀνάπτυξιν αὐτῶν. Πρὸς ἀκμὴν τῶν Σχολῶν πλὴν τῶν χρημάτων ἀναγκαῖαι καὶ ἠθικαὶ δυνάμεις, καὶ ἐφ' ὑμᾶς, τοὺς παρεσκευασμένους εἰς τὸ ἔργον τῆς διδασκαλίας, ἀνατίθεται ἡ ἐλπίς, ὅτι ὑμεῖς, κινούμενοι ὑπὸ ἀγάπης πρὸς τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πατρίδα, μέλλετε ἀξίως διανύειν τὴν ὑψηλὴν διακονίαν τῶν ποιμένων καὶ τῶν διδασκάλων τοῦ λαοῦ.

Πρὸς τοὺς μαθητὰς δὲ τῆς Ε.' τάξεως ὡς ἔγγιστα εἶπεν:

Ὑπερχαίρω, ὅτι ὁρῶ ὑμᾶς καὶ εἶπον ὑμῖν ἐν βραχεῖ τοῦτο, ὅπερ νῦν δὴ ἔλεγον τοῖς πρεσβυτέροις συμμαθηταῖς ὑμῶν. Ὅτε ἔσεσθε ἐν τῇ ΣΤ.' τάξει, πρόσχετε ἰδίᾳ τὸν νοῦν τῇ προτύπῳ Σχολῇ· ἐπισκέπτεσθε αὐτὴν εἰλικρινῶς καὶ πλειονάκις· ἀκροᾶσθε μετὰ πλείονος προσοχῆς τῆς διδασκαλίας καὶ τῆς ἀγωγῆς τοῦ ἔργου τῆς Σχολῆς. Ἐπισκοπεῖτε ὡσαύτως κατὰ τὰς ὥρας τὰς ἐλευθέρους τῶν ἀσχολιῶν τὰ συγγράμματα τῶν κρεισσόνων παιδαγωγῶν ἡμῶν. Καὶ δὴ εὔχομαι, ὅπως ὑμεῖς οἰκειοποιήσητε τὰς θεωρίας ἑνὸς τῶν τὰ μάλιστα ἀξίων διδασκάλων τοῦ λαοῦ τῆς Ῥωσσίας—Σεργίου Ἀλεξάνδροβιτς Ρατσήνσκη. Οὗτος ὁ ἄγαν πεφωτισμένος ἀνὴρ, εὐρωπαϊκῶς γνωστὸς διδάκτωρ τῆς Βοτανικῆς, ὢν καθηγητὴς ἐν τῷ Πανεπιστημίῳ Μόσχας, τὴν ὑψηλὴν ταύτην ὑπηρεσίαν ἀντήλλαξεν ἀντὶ τῆς μετρίας, ἀλλ' ἐν ὑψίστῳ βαθμῷ εὐεργετικῆς δράσεως διδασκάλου ἐν χωρίῳ, καὶ νῦν ἐργάζεται πρὸς ὄφελος τῆς πατρίδος ἐν τῷ σταδίῳ τοῦ φωτισμοῦ τοῦ ἁπλοῦ λαοῦ. Πειρᾶσθε μιμεῖσθαι τὴν μετ' αὐταπαρνήσεως ἀγάπην αὐτοῦ πρὸς τὴν Σχολὴν ἐπὶ τούτῳ, ὅπως ἔχητε τὸ δυνατὸν ἐφαρμόσαι τῷ ἔργῳ τῆς διδασκαλίας τὰς προσκτηθείσας ὑφ' ὑμῶν γνώσεις. (Тамъ же. Стран. 462—465).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# III.

## ΛΟΓΟΣ

ἐπὶ τῇ ἐπισκέψει τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Τβέρης, πρὸς τοὺς μαθητὰς τῶν δύο τμημάτων τῆς ΣΤ.' τάξεως, τὴν 15 Ὀκτωβρίου 1895 ἔτους.

Ἐγὼ περιχαρὴς εἰμί, ὅτι ὁρῶ ὑμᾶς καὶ διελέχθην ὑμῖν. Ἠκούσατε βεβαίως ἐκεῖνο τὸ μέγα ἔλεος, ὅπερ οὐ πάλαι ἔδειξε τῷ ὀρθοδόξῳ κλήρῳ ὁ Αὐθέντης Αὐτοκράτωρ, ἐπικυρώσας τὴν ἐκ τοῦ ταμείου ἐπίδοσιν 3,279,000 ρουβλίων εἰς βοήθειαν τῶν Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν τῇ μεσιτείᾳ τοῦ Αὐτοκρατορικοῦ παρὰ τῇ Ἁγιωτάτῃ Συνόδῳ Ἐπιτρόπου Κ. Π. Ποπεδονότσεβ. Γινώσκετε, ὅτι καὶ ὁ ἐν Θεῷ ἀναπαυθεὶς ἄληστος Αὐθέντης Αὐτοκράτωρ Ἀλέξανδρος Ἀλεξανδρίδης τὸν αὐτὸν τρόπον ἐδείκνυε βασιλικὸν ἔλεος ταύταις ταῖς Σχολαῖς, καὶ ἐξέφραζε τὴν ἐλπίδα, ὅτι ὁ ὀρθόδοξος κλῆρος ἔσται ἄξιος τῆς ὑψηλῆς αὐτοῦ κλήσεως εἶναι φωτιστὴς τοῦ λαοῦ. Ἐκ τούτου ἤδη ὀφείλετε καθορᾶν, ὅτι τὸ ἔργον τῶν Ἐκκλησιαστικῶν Σχολῶν ἐστὶν οὐ τυχαῖόν τι μηχάνημα ἢ δεξιὸν ἐπινόημα. Οὐχί, ἡ γένεσις τῶν Ἐκκλησιαστικῶν Σχολῶν παρίστησι καθ' ἑαυτὴν ἐπιφανέστατον βῆμα ἐν τῇ ὁδῷ τῆς ἐθνικῆς ἀναπτύξεως τῆς φίλης πατρίδος ἡμῶν. Ἐξ ἀρχῆς ἐν Ῥωσσίᾳ ὁ κλῆρος ἦν ὁ ἄριστος καὶ ἀσφαλέστατος φωτιστὴς τοῦ λαοῦ. Ἡ γνῶσις ταύτης τῆς ἀξίας τοῦ κλήρου ἐπί τινα χρόνον ἐσκοτίσθη πως ἐν τῇ συνειδήσει τῆς κοινωνίας ἡμῶν, ἀλλὰ νῦν, χάρις τῷ Κυρίῳ,—ἀσφαλῶς εἰσερχόμεθα εἰς τὴν ὑπὸ τῶν αἰώνων συσταθεῖσαν ὁδὸν τοῦ κοινωνικοῦ καὶ πολιτικοῦ βίου ἡμῶν, καὶ ἱδρύομεν Σχολὰς διὰ τὸν λαόν, ἐξειργασμένας ὑπὸ τῶν αἰώνων ἐν τοῖς προβλήμασι καὶ ταῖς ἰδιότησιν αὐτῶν. Ἕνεκα τῶν ἐλπίδων καὶ τῶν προσδοκιῶν τῆς ἀνωτάτης ἐξουσίας, ὁ ὀρθόδοξος κλῆρος ὀφείλει νῦν διὰ τὸ νέον βασιλικὸν ἔλεος ἐνισχύειν τὸν ζῆλον ἐν τῷ σταδίῳ τοῦ φωτισμοῦ τοῦ λαοῦ διὰ τῆς Σχολῆς. Πρὸς ὑμᾶς, ὦ νεανίαι, ἀποβλέπουσι μετ' ἐλπίδος, ὅτι ὑμεῖς ἔσεσθε φορεῖς τοῦ φωτὸς διὰ τὸν λαόν, ἔσεσθε φωτισταὶ αὐτοῦ καὶ διδάσκαλοι. Διὸ νῦν διδάσκονται γνώσεις καὶ παρέχονται ὑμῖν πάντες οἱ τρόποι ἐπὶ τούτῳ, ὅπως ἡ προκειμένη ὑμῖν φωτιστικὴ δρᾶσις ᾖ τὰ μάλιστα καρποφόρος καὶ ἐπιτυχής. Ὀφείλετε μεριμνῆσαι, ὅπως ἐντελῶς δικαιώσητε τὰς ἀνατιθεμένας ἐφ' ὑμᾶς ἐλπίδας, καὶ ὀφείλετε νῦν τῇ ἐκμαθήσει τῶν διδασκομένων ὑμῖν ἐπιστημῶν καὶ ταῖς ἀσχολίαις ἐν τῇ προτύπῳ Σχολῇ προπαρασκευάζεσθαι εἰς τὸ τοιοῦτον ἅγιον καὶ ὑψηλὸν ἔργον, τὸ οὐ σπανίως συνηνωμένον ὑστερήσεσι καὶ ἐξωτερικῶς οὐ πρὸς ἐπίδειξιν ἐκτεθειμένον. Ἀνατρέφετε ἐν ἑαυτοῖς τὸν εὐγενῆ ἰδεαλισμόν, καὶ ἐμφορεῖσθε αὐτοῦ. Διαλογίζεσθε πρώτιστα οὐ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

περὶ τούτου, ὅπως ἐξ ἅπαντος τρόπου «εὕρητε ὑπηρεσίαν», ἀλλὰ περὶ τούτου, ὅπως ἐπὶ πλεῖστον διακονήσητε τῇ ἁγίᾳ 'Ορθοδόξῳ 'Εκκλησίᾳ καὶ ἐργάσησθε ἐπωφελῶς τῷ λαῷ. Ἡγεῖσθε εὐτυχίαν ὑμῶν καὶ ὕψιστον ἀγαθὸν ἀνήκειν ταύτῃ τῇ ἁγίᾳ 'Εκκλησίᾳ, πολλῷ δε μᾶλλον διακονῆσαι αὐτῇ. Πλειστάκις ὁ πλέον φροντίζων περὶ ὑπηρεσίας ἀπόλλυσι λίαν πολλά, ὁ δὲ ὀλίγον φροντίζων περὶ ὑπηρεσίας καὶ πλέον ἐνησχολημένος τῇ σκέψει περὶ ἐργασίας πρὸς ὄφελος τῶν ἄλλων τυγχάνει καλῆς ὑπηρεσίας. Οὐκ ἔστι στρέφειν κυρίαν προσοχὴν ἐπὶ τὰ ἔξω κέρδη τοῦ βίου, ἀνάγκη μετὰ καθαρᾶς καρδίας, μετὰ τῆς ἰδέας τοῦ ἀγαθοῦ καὶ τῆς ὠφελείας τοῦ λαοῦ προσελθεῖν αὐτῷ σὺν τῷ φωτὶ τῆς διδασκαλίας. Γινώσκετε, ὅτι ἡ καλὴ ὑμῶν διακονία τῷ ἁπλῷ λαῷ ὀχυρώσει αὐτὸν ἀπὸ τῶν ἐχθρῶν, ὧν οὐκ ὀλίγοι παρ' αὐτῷ. Ἔστε πεπεισμένοι, ὅτι ἐν τῇ φωτεινῇ ἐργασίᾳ πρὸς ὄφελος τοῦ λαοῦ, ἐν τῇ ἁγνῇ διακονίᾳ ἐπ' ἀγαθῷ τῆς 'Εκκλησίας καὶ τῆς Σχολῆς εὑρήσετε ἑαυτοῖς μεγάλην χάριν. Παρασκευάζεσθε δὴ εἰς ταύτην τὴν ἐργασίαν, ἥπερ ἐγγὺς ἤδη ὑμῖν, χρῆσθε ἐπὶ τούτῳ πᾶσι τοῖς προσιτοῖς ὑμῖν τρόποις. 'Εγὼ ὑπερεύχομαι καὶ ἐλπίζω, ὅτι ὑμεῖς παρέξετε τῇ πατρίδι πιστοὺς θεράποντας τῆς εὐτυχίας καὶ ὠφελείας αὐτῆς καὶ δικαιώσετε τὰς ἀνατιθεμένας ἐφ' ὑμᾶς ἐλπίδας αὐτῆς. (См. Прибавл. къ Церков. Вѣдом за 1895 г. № 44. Стран. 1550—1551).

# IV.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐπισκέψει τοῦ 'Εκκλησιαστικοῦ Σεμιναρίου Τούλων, πρὸς τοὺς μαθητὰς τῶν δύο ἀνωτέρων τάξεων, τὴν 18 'Οκτωβρίου 1895 ἔτους.

Πῶς χαίρω, κύριοι, ὅτι, ὢν ἐνταῦθα ἐν ὑμῖν, αἰσθάνομαι ἑαυτὸν ἐν πατρίῳ χώρᾳ: καὶ ἐγὼ γὰρ σχεδὸν ἐκ Τούλων. Τὰ κρείττονα ἔτη τῆς παιδίας, τῆς ἐφηβείας καὶ τῆς νεότητος ἐγὼ διῆλθον ἐν Κολτόβᾳ, χωρίῳ τοῦ δήμου Κασσήρων. 'Ηνδρώθην ἐν τῷ χορῷ τῆς 'Εκκλησίας τῆς φίλης ἡμῶν χώρας. Αὐτὸς ὁ χρόνος ἀληθῶς ἦν μοι ὁ εὐτυχέστατος. Τὸν κλῆρον τῆς 'Εκκλησίας τῆς Κολτόβας συνίστων τότε τὰ ἄληστά μοι πρόσωπα: ὁ ἱερεύς, ὁ διάκονος, ὁ ψάλτης καὶ ὁ νεωκόρος. Αὐτοὶ ἐδίδαξαν ἐμὲ ἀναγινώσκειν ἐν τῷ χορῷ, ψάλλειν, διδόναι τὸν θυμιατὸν ἐν τῷ ἁγίῳ βήματι, ἠχεῖν τὸν κώδωνα καὶ τρὶς μεθ' ὅλων τῶν κωδώνων ἠχεῖν (трезвонить). Μετὰ τοῦ ἀλήστου μοι Τυπικάρη νεωκόρου 'Αλεξάνδρου Θεόδωροβιτς Κομάρωφ ἠρχόμεθα κατὰ τὴν 4 ὥραν τῆς πρωΐας εἰς τὸν Ὄρθρον, καὶ αὐτὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πολλάκις ἔλεγέ μοι: «ἐπικατάρατος ὁ ποιῶν τὸ ἔργον τοῦ Θεοῦ μετὰ ῥαθυμίας». Καὶ ἰδοὺ ἐν τοιαύταις λαμπραῖς καὶ προσφιλέσιν ἐμοὶ ἀναμνήσεσιν ἐγὼ ὁρῶ ὑμᾶς, καὶ ὡσεὶ ἐν ὑμῖν βλέπω ἀεὶ τὰ αὐτὰ προσφιλῆ μοι πρόσωπα τοῦ κλήρου τῆς Κολτόβας. Ὑπὲρ πᾶν δὲ χαίρω πρὸς τούτοις ἐπὶ τούτῳ, ὅτι ἐγὼ—ὀρθόδοξος καὶ ἀνετράφην οὕτως, ὡς καὶ ὑμεῖς ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ. Ἐμὲ, ὡς καὶ ὑμᾶς, οὐ δύναται μὴ χαροποιῆσαι αὕτη ἡ ἔννοια, ὅτι ἡ Ὀρθόδοξος Ἐκκλησία, ἧπερ ἐγώ τε καὶ ὑμεῖς ἀνήκομεν, περιέχει ἐν ἑαυτῇ καθαρὰν χριστιανικὴν διδασκαλίαν, μὴ βεβλαμμένην τοῖς ψευδέσι λατινικοῖς ἢ προτεσταντικοῖς σοφίσμασιν. Ὁ ἅγιος φωτιστὴς τῆς ῥωσσικῆς γῆς εὗρε τὸν ἀνεκτίμητον μαργαρίτην τοῦ Χριστοῦ. Ἡ δὲ ἁγία Ἐκκλησία ἡμῶν ἐφύλαξεν ἐν ἀνεπάφῳ καθαρότητι τὴν ὀρθὴν πίστιν καὶ ὠχύρωσεν ἡμᾶς ἀπὸ τῶν παγίδων, αἷς περιεπλέχθη καὶ ἄλλους περιπλέκει ἡ ἑτεροδοξία, π. χ. ὁ ῥωμαϊκὸς παπισμὸς, ἀναπλάσσων χειραγωγίαν σύμπαντος τοῦ κόσμου. Γινώσκετε βεβαίως, ὅτι Λέων ὁ ΙΓ.' ὀνειροπολεῖ καὶ ἡμᾶς συλλαβεῖν εἰς τὴν παγῖδα αὐτοῦ. Ἡ Ῥωσσία ἡ ὀρθόδοξος οὐ μεταναστήσεται εἰς τὴν Ῥώμην, καὶ δὴ νῦν, ὅτε τὸ μεγαλεῖον τῆς Ὀρθοδόξου Ἐκκλησίας ἀεὶ μᾶλλον γινώσκεται ὑπ' αὐτῶν τῶν ἑτεροδόξων. Μέχρι τοῦ νῦν ἡ Ὀρθοδοξία ἦν ὀλίγον γνωστὴ τῇ Δύσει, ἀλλὰ καθ' ὅσον οἱ ζητοῦντες τὴν ἀλήθειαν καὶ ἀπηυδηκότες ὑπὸ τῆς ἀτελευτήτου διαιρέσεως τῶν προτεσταντικῶν αἱρέσεων ἤρξαντο ἔχειν πεῖραν τῆς διδασκαλίας τῆς Ὀρθοδόξου Ἐκκλησίας, αὐτοὶ οὐκ ἠδύναντο μὴ γνῶναι τὴν ἀναμάρτητον αὐτῆς καθαρότητα. Οἷον οὐ πάλαι ἀφίκετο εἰς Πετρούπολιν ἐκ Καναδᾶ ἀγγλικανὸς διάκονος· Παρὼν ἐν ταῖς Ἐκκλησίαις ἡμῶν, αὐτὸς ἔλεγε: «Θεὸς μέγας, ὡς θαυμαστοὶ οἱ ναοὶ ὑμῶν, ἐν αὐτοῖς ὡσεὶ οἱ οὐρανοὶ ἀνοίγονται, μεθ' οἵας εἰλικρινοῦς διαθέσεως τοῦ πνεύματος ἵστανται ἐν αὐτοῖς οἱ προσευχόμενοι! Εἰ οἱ ναοὶ ὑμῶν ἦσαν ἐκεῖ παρ' ἡμῖν, πολλοὶ ἐφοίτων ἂν εἰς αὐτούς». Καὶ ἀληθῶς, διὰ τῶν μόχθων τοῦ ἐπισκόπου Ἀλεούτης Νικολάου πολλοὶ τείνουσιν ἐκεῖ εἰς τὴν Ὀρθοδοξίαν οὐκ ἐκ προσωπικῶν τινῶν κερδῶν, ἀλλ' ἐξ εἰλικρινοῦς πεποιθήσεως. Τοιαύτην δὲ ἐπιτυχίαν κέκτηνται οἱ ἀποστολικοὶ μόχθοι καὶ τοῦ ἑτέρου ἐπισκόπου ἡμῶν Νικολάου, τοῦ δρῶντος ἐν Ἰαπωνίᾳ. Καὶ ἡ γνώμη τοῦ ἀγγλικανοῦ διακόνου ἐστὶν οὐ μοναδική. Ἀλλ' οἱ ἀντίπαλοι ἡμῶν ἰσχυροί. Ἐπωφελὲς ἡμῖν γινώσκειν τοῦτο. Αὐτοὶ ἰσχυροὶ τῇ ἀγάπῃ πρὸς τὴν ἰδέαν αὐτῶν, ἔστω καὶ μὴ ὀρθὴν ἰδέαν, ψευδῆ, ἐπιβλαβῆ, ταράττουσαν τὸν νοῦν καὶ τὰς καρδίας τῶν ἀληθῶς πιστευόντων. Μὴ ἆρά γε ἡμεῖς τὰ τέκνα τῆς Ὀρθοδόξου Ἐκκλησίας, τῆς φυλαξάσης τὸν ἀληθῆ Χριστιανισμὸν, τὸν καθαρὸν μαργαρίτην τοῦ Χριστοῦ, ὀφείλομεν ἐκπρέπειν ἐλάσσονι ἀγάπῃ πρὸς τὴν ἁγίαν Ἐκκλησίαν; Ἀληθῶς, οὐχί. Εὐτυχεῖς, ὅτι ἀνήκομεν αὐτῇ, εὐχαριστήσωμεν τῷ Κυρίῳ καὶ πλήρεις ταπεινώσεως πειραθῶμεν εἶναι ἄξιοι τῆς ὑψηλῆς κλήσεως τοῦ Ὀρθοδόξου Χριστιανοῦ. Καὶ πῶς οὐ δέον προσφέρειν ἡμᾶς αἶνον ἐπὶ τούτῳ, ὅτι ἡμεῖς, ἀνήκοντες τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ, χρώμεθα τοῖς θησαυροῖς τῶν θαυμαστῶν ὑμνῳδιῶν αὐτῆς. Κατὰ πᾶν ἔτος ἐγὼ ἐτύγχανον ὢν ἐν τῇ ἀλλοδαπῇ ἐν διαφόροις

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χώραις καὶ ἠκροώμην τῆς λειτουργίας ἐν αὐταῖς· καὶ ἰδοὺ ὅτε ἐγὼ συγκρίνω τὰς ἁπλᾶς καὶ συνάμα μεγαλοπρεπεῖς, περιεκτικὰς ὑμνῳδίας τῆς Ὀρθοδόξου Ἐκκλησίας πρὸς τὸ κάτισχνον, πενιχρὸν, ξηρὸν περιεχόμενον τῶν ἐκ νέου συνταττομένων ὕμνων τῆς ἀγγλικανικῆς Ἐκκλησίας καὶ πρὸς τοὺς θωπευτικοὺς, πλήρεις παταγωδῶν φράσεων γαλλικοὺς ὕμνους, αὖθις ἐκ ψυχῆς χαίρω, ὅτι ἐγὼ ἀνήκω τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ. Ἐξ ὅλης τῆς καρδίας χάριν γινώσκω τοῖς ἐμαυτοῦ διδασκάλοις (νῦν ἤδη μεταστᾶσιν εἰς τὸν ἄλλον κόσμον) ἐπὶ τούτῳ, ὅτι αὐτοὶ ἠδυνήθησαν ἀναθρέψαι καὶ εὖ ἀσκῆσαι ἐν ἐμοὶ ταῦτα τὰ αἰσθήματα. Μεγάλη τιμὴ ἀνήκειν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ, ἀλλ' ἔτι μείζων τιμὴ καὶ γέρας διακονεῖν αὐτῇ. Μεταβαίνομεν εἰς τὴν ἰδέαν τοῦ ποιμαντικοῦ ἐπαγγέλματος. Ὑψηλὴ καὶ ἀξιέπαινος ἡ ποιμαντικὴ διακονία. Μὴ ταπεινοῦτε τὸ ὕψος αὐτῆς, μὴ ζητεῖτε ἐν αὐτῇ ὑλικὸν κέρδος· μὴ ποιεῖσθε σπουδὴν περὶ κτήσεως ἐπικερδῶν ὑπηρεσιῶν. Οἱ ποιμένες ὀφείλουσιν εἶναι ὁ λύχνος, ὁ φωτίζων τὸ σκότος, ὅπερ καὶ μέχρι τοῦ νῦν ἔτι περιβάλλει τὸν καλὸν ῥωσσικὸν λαὸν ἡμῶν, τὸν ἀγαπῶντα τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἀλλ' ἀνεπαρκῶς ἔτι ἐστηριγμένον ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως. Ἀξίως διακονοῦντες ἐν τῷ ποιμαντικῷ σταδίῳ, ὑμεῖς διακονήσετε μεγάλην διακονίαν τῇ Ἐκκλησίᾳ, τῷ Βασιλεῖ καὶ τῇ πατρίδι. (См. Прибавл. къ Церков. Вѣдом. за 1895 г. № 46. Стран. 1633—1634).

# V.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐπισκέψει τῆς Σχολῆς τῶν θηλέων τῆς ἐπαρχίας Τούλων, τὴν 19 Ὀκτωβρίου 1895 ἔτους.

Ἐκ παντὸς καταφαίνεται, ὅτι ὑμεῖς ἐπίστασθε ψάλλειν, καὶ δὴ ὁρῶ, ὅτι ὑμεῖς ἀγαπᾶτε ψάλλειν, καὶ ἐλπίζω, ὅτι ὁ ἔρως πρὸς τὴν ὑμνῳδίαν βαθέως εἰσέδυσεν εἰς τὴν ψυχὴν ὑμῶν. Ὑμεῖς τῇ ψαλμῳδίᾳ ὑμῶν παρέσχετέ μοι ἀληθῆ παραμυθίαν, ἐγὼ δὲ χαίρω, ὅτι δύναμαι ἀνακοινώσασθαι ὑμῖν εἰδήσεις περὶ ἑνὸς πράγματος λίαν ἀναγκαίου διὰ τὰς Σχολάς: κατὰ τὸν τελευταῖον χρόνον ἰδίαν προσοχὴν ἡ ἀνωτάτη Ἐκκλησιαστικὴ ἀρχὴ ἐπέστησεν ἐπὶ τὰς ἐπαρχιακὰς Σχολὰς τῶν θηλέων· κατὰ διαταγὴν καὶ ὑπὸ χειραγωγίαν αὐτῆς συνετάχθησαν νῦν προγράμματα ὅλων τῶν τῆς διδασκαλίας ἐν ταῖς Ἐπαρχιακαῖς Σχολαῖς. Ἐρείδονται δὲ τὰ νέα προγράμματα ταῖς ἀρχαῖς, ταῖς ἐν τῇ ἀρχῇ τῶν ἀρχαίων, δηλαδὴ αὐτῷ τούτῳ, ὅπερ ὑπὸ τὴν ἀνωτάτην ἐπιτήρησιν τοῦ ἀρχιποίμενος ὑμῶν καὶ μέχρι τοῦ νῦν ἐπεδιώκετο ἐν τῇ διδασκαλίᾳ καὶ ἀγωγῇ ὑμῶν. Τὸ πλεονέκτημα τῶν νέων προγραμμάτων ἀπὸ τῶν πρώτων συνίσταται ἐν τῇ ὁμαλωτέρᾳ συμφω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νήσει πάντων τῶν μερῶν τῆς σειρᾶς τῶν μαθημάτων μεταξὺ ἀλλήλων, ἐν τῇ αὐστηροτέρᾳ ἀναλογίᾳ τῶν μερικοτήτων αὐτῶν τῷ ἑνὶ κυρίῳ σκοπῷ. Ὡς τὸ κυριώτατον ἐν τῇ σειρᾷ τῶν μαθημάτων τῶν Ἐπαρχιακῶν Σχολῶν, ἐφ' ὃ ἔξοχον προσοχὴν οἵ τε διδάσκοντες καὶ οἱ διδασκόμενοι ὀφείλουσιν ἐφιστάναι, μένει βεβαίως, ὡς πρότερον, ὁ Νόμος τοῦ Θεοῦ μεθ' ὅλων αὐτοῦ τῶν ὑποδιαιρέσεων, ἐπὶ τὴν ἐκμάθησιν τῆς Ἐκκλησιαστικῆς Σλαβωνικῆς γλώσσης ἰδίαν ἐπέστησαν προσοχήν. Ἡ ἐγγυτέρα γνῶσις αὐτῆς θήσει ἀσφαλῆ βάσιν καὶ πρὸς ἐκμάθησιν τῆς ρωσσικῆς γλώσσης. Τῇ μαθήσει τῆς Ἐκκλησιαστικῆς Σλαβωνικῆς γλώσσης οὐκ ἀπέδωκαν μόνον θεωρητικὴν ἀξίαν. Ἡ Ἁγιωτάτη Σύνοδος ἀνέθηκε τῇ ἐπιμελείᾳ τῶν πανιερωτάτων ἀρχιερέων τὴν μέριμναν περὶ τούτου, ὅπως αἱ μαθήτριαι ἀσκῶνται περὶ τὴν ἀνάγνωσιν, τὴν ἔχουσαν αὐστηρῶς ἐκκλησιαστικὸν χαρακτῆρα. Ἕνεκα ταύτης τῆς δράσεως, ἥπερ πρόκειται ταῖς πλείοσιν ἐξ ὑμῶν, διανυσάσαις τὸ ἐν τῷ ἐκπαιδευτηρίῳ στάδιον, δεῖ τὴν Ἐκκλησιαστικὴν ὑμνῳδίαν, τὴν διδακτικὴν καὶ τὰς πρακτικὰς ἀσχολίας ἐν τῇ παρὰ τῷ Σχολείῳ προτύπῳ Σχολῇ εἶναι ὑπόθεσιν σπουδαιοτάτης προσοχῆς ὑμῶν. Ἐνταῦθα ἐγὼ οὐ δύναμαι μὴ ἐκδηλῶσαι τὴν ἰδίαν ἐμαυτοῦ τέρψιν ἐκ τῆς ἐπισκέψεως τῆς παρὰ τῷ Σχολείῳ ὑμῶν προτύπου Σχολῆς, τῆς ἱδρυθείσης ὑπὸ τοῦ ἀρχιποίμενος ὑμῶν. Ἡ Σχολὴ αὕτη ἀληθῶς πρότυπος καὶ ἐξωτερικῶς, καὶ κατὰ τὰς προόδους τῶν μαθητριῶν αὐτῆς ὡς καὶ τῶν ἐν αὐτῇ πεῖραν προσκτωμένων μαθητριῶν τοῦ Σχολείου. Λίαν εὐχάριστον ἦν βλέπειν, ὅτι αἱ μαθήτριαι τῆς ΣΤ.' Τάξεως, ἀσχολούμεναι ἐν τῇ Σχολῇ, ᾐσθάνοντο ἑαυτὰς εὐμαρῶς καὶ ἐλευθέρως· ἦν καταφανές, ὅτι αὗται ἐξῳκειώθησαν πρὸς τὸ ἔργον τῆς διδασκαλίας ἐν τῇ Ἐκκλησιαστικῇ παροικιακῇ Σχολῇ. Τὰ νέα προγράμματα ἐν συνδέσμῳ μετὰ τῆς παιδαγωγικῆς τάξεως τῶν ἐπαρχιακῶν Σχολείων τῶν θηλέων ἀναμφιλέκτως ὠφελήσουσι τὰς διδασκομένας ἐν τοῖς Σχολείοις, παρέξουσιν αὐτοῖς κρείσσονα προπαρασκευὴν εἰς τὸν προκείμενον αὐταῖς βίον. Πρὸς ἐπίτευξιν τούτου τοῦ σκοποῦ ἀνάγκη, ὅπως ἡ Σχολὴ ἔχῃ δύναμιν καὶ πρὸς τὴν διανοητικὴν ἐπίδοσιν καὶ πρὸς τὴν ἀγωγὴν τῆς καρδίας. Τὸν πλουτισμὸν τοῦ νοὸς ταῖς γνώσεσι ταῖς παριστώσαις ἀφ' ἑαυτῶν ὅλον τι καὶ τετελεσμένον, δεῖ συμβαδίζειν τῇ ἀναπτύξει τῶν αἰσθημάτων τῆς καρδίας, τῶν τρεφομένων τῇ καθαρᾷ διδασκαλίᾳ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καὶ τῇ ἡσύχῳ πνοῇ τῆς εὐσεβοῦς κοινωνίας, ἐν ᾗ ἐκλήθησαν τελειοῦσθαι αἱ μαθήτριαι τῶν Ἐπαρχιακῶν Σχολῶν.

Τὰ Σχολεῖα ταῦτα παριστῶσι καθ' ἑαυτὰ ἰδιόρρυθμόν πως τύπον ἐκπαιδευτηρίου, ἐν ᾧ ἡ διατριβὴ τῶν μαθητριῶν ἐπὶ πολλοὺς μῆνας ἐν τοῖς τείχεσι τοῦ Σχολείου συνετῶς ἀμείβεται τὴν ἐπιστροφὴν αὐτῶν εἰς τοὺς οἴκους τῶν συγγενῶν. Ὁ ἐν τῷ Σχολείῳ βίος, ὁ τεθειμένος ἐν ὅροις αὐστηρᾶς διανομῆς τῶν ἡμερησίων ἀσχολιῶν, ἐθίζει εἰς τὴν τάξιν καὶ ἐξεργάζεται ἐκείνας τὰς καλὰς ἕξεις, αἵτινες μέγα ὠφελοῦσι τὰς μαθητρίας ἐν τῷ ἑξῆς βίῳ. Μακρὰν τῆς κενοσπουδίας τῶν θορυβωδῶν ἀγυιῶν, αἱ μαθήτριαι εἰρηνικῶς καὶ ἡσύχως πλάττουσι τὰς πνευματικὰς δυνάμεις καὶ



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

προσκτῶνται ἐκείνην τὴν καλὴν διάθεσιν τοῦ πνεύματος, ἥτις ἀναμφιλέκτως ἀνακουφίσει αὐταῖς τὸν χαλεπὸν τοῦ βίου ἀγῶνα. Διάγουσαι τοὺς μῆνας τοῦ θέρους οἴκοι, αἱ μαθήτριαι σὺν τούτῳ οὐ διαῤῥηγνύουσι καὶ τὸν δεσμὸν μετὰ τοῦ οἴκου τοῦ συγγενοῦς· αὐταὶ οὐκ ἀποσπῶνται τεχνικῶς ἀπ' ἐκείνης τῆς κοινωνίας, εἰς ἥν ἐκλήθησαν ἐπανελθεῖν, καὶ οὐκ ἀπολλύουσι τὴν γνῶσιν τῶν θλίψεων καὶ τῶν στερήσεων, ἃς αὐτοὶ μὲν οὐκ ἔγνωσαν ἐν τῷ θεοφρουρήτῳ Σχολείῳ, ἀλλ' ὑφίστανται οἱ συγγενεῖς ἐν τῇ πτωχῇ κατ' οἶκον κατασκευῇ. Ἀλλὰ τὶ δέον προσδοκᾶν ἀπὸ τῶν μαθητριῶν, τῶν ἀπολυομένων ἐκ τοῦ Ἐπαρχιακοῦ Σχολείου; Αὐξηθεῖσαι ὑπὸ τὴν ἐγγυτάτην ῥοπὴν τῆς Ἐκκλησίας, πλήρεις εὐγνώμονος ἀγάπης πρὸς αὐτήν, αὐταὶ ὀφείλουσιν εἰσενεγκεῖν εἰς τὸν βίον πάντα τὸν πλοῦτον ταύτης τῆς ἀγάπης καὶ ἀναδείκνυσθαι καλαὶ θυγατέρες τῆς Ὀρθοδόξου Ἐκκλησίας, ἱκαναὶ φωτίζειν τοὺς παῖδας τοῦ λαοῦ, στηρίζουσαι αὐτὰς ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως καὶ ἐν τοῖς κανόσι τῆς χριστιανικῆς εὐσεβείας. Παρασκευαζόμεναι εἰς πᾶν ἐπωφελὲς ἔργον ἐν τῷ οἴκῳ, αὐταὶ ὀφείλουσιν ἀναδειχθῆναι ἐρασταὶ βοηθοὶ τῶν μητέρων ἐν ταῖς χρείαις τοῦ οἴκου, καὶ μετὰ τὸ συνοικέσιον καλαὶ συνεργάτιδες τῶν ἀνδρῶν: ἡ πραεῖα καὶ καλὴ γυνὴ ἐστὶν ἡ κρείσσων βοηθὸς τοῦ ἱερέως, καὶ ὡς πρὸς τὴν Σχολὴν αὐτὴ δύναται μετέχειν τῶν μόχθων αὐτοῦ, καὶ ὡς πρὸς τὰ κατ' οἶκον ἀνακουφῖσαι τὰς φροντίδας. Πόσα δὲ καλὰ αὐτὴ δύναται προσπορίσαι ταῖς ἀγρότισιν, ἀνακοινουμένη αὐταῖς ἐπωφελεῖς γνώσεις περὶ καθαριότητος καὶ τῆς καλῆς θεραπείας τῶν μικρῶν παιδίων, διδάσκουσα αὐτὰς ἁπλᾶ τινα καὶ χρήσιμα ἐργόχειρα, συμβουλεύουσα ἐν διαφόροις χαλεποῖς καιροῖς. Εὖ εἰδυῖα τὴν κατ' οἶκον οἰκονομίαν, αὐτὴ βοηθήσει τῷ οἴκῳ καὶ δι' ὀλίγων πόρων ζῆν κρεῖσσον καὶ ἀνετώτερον. Τέλος δὲ, αὐτὴ, εὖ ἡγμένη—πόσον ὠφελήσει τὰ ἴδια τέκνα! Αὐτὴ ἐκθρέψει αὐτὰ ἐν καλαῖς ἕξεσιν εἰς τὴν προσευχὴν, τὴν ἐργασίαν, εἰς πᾶν, ὅ,τι τίμιον καὶ ἐπαινετόν. Ταῖς μαθητρίαις τῶν Ἐπαρχιακῶν Σχολῶν, ἀπολυομέναις, παρίσταται εὐρὺ τὸ δυνατὸν τῆς καρποφόρου δράσεως. Ἐξερχόμεναι ἐκ τῆς κοινωνίας, τῆς ἐγγὺς ἐν πείρᾳ γενομένης τοῦ λαοῦ, αὐταὶ δύνανται συντελεῖν σὺν ταῖς ἄλλαις ἐκπαιδευτικαῖς δυνάμεσι τῇ ἐξευγενίσει καὶ τῇ πνευματικῇ ἐπιδόσει τῶν ἐρχομένων γενεῶν καὶ τῇ διαδόσει τῶν ἀγαθῶν τοῦ ἀληθοῦς φωτισμοῦ ἐν μέσῳ τοῦ ῥωσσικοῦ λαοῦ. Εἰ τοιαύτη ἡ ἀξία τῶν Ἐπαρχιακῶν Σχολείων, πῶς οὐ δέον εὔξασθαι ὑμῖν, ταῖς μαθητρίαις τοῦ Σχολείου τῆς Ἐπαρχίας Τούλων δικαιοῦν τὰς ἀνατιθεμένας ἐφ' ὑμᾶς ἐλπίδας. Ἀκμαζέτω τὸ προσφιλὲς πᾶσιν ἡμῖν Σχολεῖον τῆς Ἐπαρχίας Τούλων. Λαμπέτω τὸ φῶς αὐτοῦ, φωτίζον τοῖς θησαυροῖς τῆς ἀληθοῦς γνώσεως τὰς ἐν αὐτῷ ἐκπαιδευομένας. Ὑμεῖς δὲ, ὦ μαθήτριαι, παρακαλῶ ᾄσαι «πολλὰ τὰ ἔτη» τῷ Πανιερωτάτῳ ἐπισκόπῳ Εἰρηναίῳ, τῷ μετὰ προνοίας καὶ ἐπιμελείας διακοσμήσαντι τὸ Σχολεῖον, τῷ εὐμενεῖ προστάτῃ ὑμῶν. (См. Прибавл. къ Церков. Вѣдом. за 1895 г. № 46. Стран. 1635—1636).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# VI.

## ΛΟΓΟΣ

ἐπὶ τῇ ἐπισκέψει τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Ῥήγης, πρὸς τοὺς μαθητὰς τῶν δύο ἀνωτέρων τάξεων τὴν 4 Νοεμβρίου 1895 ἔτους.

Εἰπών, ὅτι ἤδη τὸ δεύτερον ἐπισκέπτεται τὸ Ἐκκλησιαστικὸν Σεμινάριον τῆς Ῥήγης καὶ ὅτι κατ' ἀμφοτέρας τὰς ἐπισκέψεις ἐκκομίζει ἡδυτάτην αἴσθησιν, ὁ κ. Β. Κ. Σάβλερ παρεκελεύετο τοὺς μαθητὰς περὶ πολλοῦ ποιεῖσθαι τοῦτο, ὅπερ διδάσκονται ἐν τούτῳ τῷ καθιδρύματι, πειρᾶσθαι χρῆσθαι τοῖς εὐμενέσιν ὅροις πρὸς τὴν διανοητικὴν καὶ ἠθικὴν ἀνάπτυξιν, εὐγνωμόνως χάριν γινώσκειν τῷ καλῷ ἀρχιποίμενι ἐπὶ τῇ καρποφόρῳ προνοίᾳ περὶ αὐτῶν ὡς καὶ τῷ πατρὶ διευθυντῇ καὶ πάσῃ τοῖς πατράσι καὶ κυρίοις καθηγηταῖς ἐπὶ τοῖς μόχθοις αὐτῶν. Εἶτα ἀπεφήνατο, ὅτι αὐτὸς ἰδίᾳ χαίρει ἀκούων, ὅτι οἱ μαθηταὶ τοῦ Σεμιναρίου τῆς Ῥήγης δοξάζουσι τὸν Θεὸν ἐν ποικίλαις γλώσσαις. Ἡ Ἐκκλησία ἡ Ὀρθόδοξος, ἡ ἐκθρέψασα τοὺς ἁγίους πρώτους διδασκάλους τῶν Σλαύων Κύριλλον καὶ Μεθόδιον, εἰς ἔλεγχον τῆς «τριγλώσσου λατινικῆς αἱρέσεως» ἀναλλοιώτως φυλάττει τὴν μεγάλην διαθήκην τῆς ἐπὶ τῶν Ἀποστόλων Πεντηκοστῆς. Ὡς τότε οἱ συνελθόντες ἐν τῷ ὑπερῴῳ τῆς Σιὼν ἐκ διαφόρων χωρῶν, οὕτω καὶ νῦν πάντα τὰ ποικίλων γλωσσῶν τέκνα τῆς Ὀρθοδόξου Ἐκκλησίας δύνανται ἕκαστον ἐν τῇ ἑαυτοῦ γλώσσῃ ἀνυμνεῖν τὰ θαυμαστὰ ἔργα τοῦ Θεοῦ. Ἡ Ὀρθοδοξία, ἐν ἀντιθέσει τῷ καθολικισμῷ, οὐ στερεῖ προσώπου τὴν ἐθνικότητα, ἀπαιτοῦσα παρ' ἁπάντων τῶν τέκνων μόνον τὴν ἑνότητα τῆς πίστεως ἐν τῷ συνδέσμῳ εἰρήνης καὶ ἀγάπης. Ταῦτα εἰπὼν ὁ κ. Β. Κ. ἐστράφη πρὸς τοὺς μαθητὰς μετὰ παραινέσεως—τιμᾶν καὶ φυλάττειν ὡς μέγιστον θησαυρὸν τὴν ὀρθόδοξον πίστιν, τὴν ὁμολογουμένην ὑπ' αὐτῶν: μόνον ἐν τῇ Ὀρθοδοξίᾳ ἡ εἰς Χριστὸν πίστις ἐφυλάχθη ἐν τελείᾳ καθαρότητι καὶ ἀβλαβείᾳ, ἐν ἐκείνῳ τῷ τύπῳ, ὡς αὐτὴ παρεδόθη ὑπὸ τῶν Ἀποστόλων καὶ ἐκυρώθη ὑπὸ τῶν Οἰκουμενικῶν Συνόδων καὶ τῶν Πατέρων τῆς Ἐκκλησίας. Οὐ τοιοῦτος ὁ Καθολικισμὸς — αὐτὸς ἠκρωτηρίασε τὴν πίστιν τοῦ Χριστοῦ ταῖς καινοτομίαις, ἃς ἡ Οἰκουμενικὴ Ἐκκλησία οὐκ ἐγίνωσκε, καὶ αὗται αἱ καινοτομίαι αὐξάνονται ἐν αὐτῷ καὶ νῦν· ἡ δὲ αἵρεσις διάκειται ἔτι χεῖρον, — αὐτὴ κλᾶται εἰς ἀναρίθμητα κλάσματα, ἀεὶ μᾶλλον ἀφισταμένη ἀπὸ τῆς ἀληθείας τοῦ Χριστοῦ. Εἶτα ὑποδείξας τὸν σκοπὸν τῶν Σεμιναρίων—προπαρασκευάζειν ποιμένας τῇ Ἐκκλησίᾳ ἔπειθε τοὺς μαθητὰς μὴ ἀποφεύγειν τὴν ἱερωσύνην: οὐκ ἔστι διακονία ἀνωτέρα τῆς ποιμαντικῆς, εἶπε,—πόσας ψυχὰς ἀνθρώπων ὁ ποιμὴν δύναται ἀγαγεῖν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰς τὸ φῶς τῆς ἀληθείας καὶ εἰς τὴν αἰώνιον σωτηρίαν! Πόσα καλὰ αὐτὸς δύναται πρᾶξαι! Πῶς πολλάκις αὐτὸς δύναται ὠφελεῖν τὸν ἄνθρωπον ἐν χαλεπαῖς τοῦ βίου περιστάσεσι, παρηγορῆσαι ἐν θλίψει, συμβουλὴν δοῦναι ἐν χαλεποῖς καιροῖς, ἐπικουρῆσαι ἐν ἐσχάτῃ ἀνάγκῃ...! Ἡ ποιμαντικὴ διακονία ἐν τῇ παρὰ τὴν Βαλτικὴν χώρᾳ ἰδίᾳ δυσχερής,—ἐχθρικῶς διάκεινται τῇ Ὀρθοδοξίᾳ καὶ οἱ πέριξ καθήμενοι καὶ μακρὰν κείμενοι· ἀλλὰ δέον ἐν καιρῷ προμηθεύεσθαι δυνάμεις καὶ ἀσφάλειαν, ὥστε εἶναι ἀξίους ἀκολούθους τῶν ἁγίων Οἰκουμενικῶν διδασκάλων καὶ πατέρων τῆς Ἐκκλησίας, τῶν διαφυλαττόντων τὴν Ὀρθοδοξίαν ἀπὸ πάσης ἀλλοτρίας προσμίξεως, καὶ τῶν ἁγίων μαρτύρων τῶν πρώτων αἰώνων τοῦ Χριστιανισμοῦ, τῶν θαυμαστῶν τῇ ἀνδρείᾳ καὶ τῷ ἀσαλεύτῳ τοῦ πνεύματος. Περὶ πολλοῦ ποιεῖσθε τὸ ἁγίασμα τῆς Ὀρθοδοξίας, εἶπεν ὁ κ. Β. Κ. ἐν τέλει· διὰ μνήμης ἔχετε, ὅτι ἡ Ὀρθοδοξία κατὰ τὴν ὑπὸ τῆς Οἰκουμενικῆς Ἐκκλησίας τηρουμένην ὀρθὴν διδασκαλίαν περὶ τῆς τοῦ Χριστοῦ πίστεως, περιλαμβάνει ἁπάσας τὰς φυλὰς καὶ τὰ ἔθνη, οὐκ ἔστιν ἀνταλλάξαι ἀντὶ ὀλίγου νομίσματος τὴν ἐθνικότητα. Ἄγουσα εἰς τὸ φῶς τῆς ἀληθείας, ἡ ὀρθὴ διδασκαλία τῆς πίστεως πάντας καλεῖ εἰς τὴν ἑνότητα, ἵνα συμφώνως δοξάζωσι τὸ Πανάγιον Πνεῦμα. Καὶ ὑμεῖς οἱ ἀλλόγλωσσοι μαθηταὶ τοῦ Σεμιναρίου τῆς Ῥήγης, ᾄδοντες τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐν ταῖς γλώσσαις ὑμῶν, ἀεὶ διατελεῖτε μετὰ τοῦ Ὀρθοδόξου λαοῦ τῆς Ῥωσσίας ἐν ἀδελφικῇ ἑνότητι εἰρήνης καὶ ἀγάπης: «Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό» (Ψαλμ. 132, 1).

Ὅτε δὲ ὁ κ. Β. Κ. Σάβλερ ἐπεσκέφθη τὴν 4 Νοεμβρίου 1895 τὴν Ἐκκλησιαστικὴν Σχολὴν τῆς Ῥήγης μετὰ τοῦ Πανιερωτάτου ἐπισκόπου Ἀρσενίου, συνῆλθον οἱ μαθηταὶ ἐν τῇ αἰθούσῃ τῆς Σχολῆς ἀνὰ τρία τάγματα κατὰ τὰς ἐθνικότητας: Ῥῶσσοι, Λατῖσσοι καὶ Ἐστῶνοι. Τῇ προτάσει τοῦ ἀρχιερέως τὸ τάγμα τῶν Λατίσσων ἔψαλε τὸ: «Πάτερ ἡμῶν» ἐν Λατίσσων γλώσσῃ, τὸ δὲ τῶν Ἐστώνων—τὸ «Ἄξιόν ἐστιν» ἐν Ἐστωνικῇ γλώσσῃ· εἶτα δὲ καὶ ὑπὸ τῶν τριῶν ταγμάτων ἐψάλη ὑφ' ἑκάστου ἐν τῇ ἑαυτοῦ γλώσσῃ ἡ ὑπὲρ τοῦ Βασιλέως εὐχή: «Σῶσον, Κύριε, τὸν λαόν σου», ἐν ᾧ λέξεις μιᾶς καὶ τῆς αὐτῆς εὐχῆς ἁρμονικῶς συνηνοῦντο καὶ ἐνεποίουν καλὴν αἴσθησιν. Πληρωθείσης τῆς εὐχῆς ὁ κ. Β. Κ. ἐν λόγῳ πρὸς τοὺς μαθητὰς ὑπέδειξε πρὸς τοῖς ἄλλοις καὶ τοῦτο, ὅτι «ὡς αἱ λέξεις μιᾶς καὶ τῆς αὐτῆς εὐχῆς, ψαλλομένης ἐν διαφόροις γλώσσαις, συνενοῦνται ἐν ἡδείᾳ ἁρμονίᾳ, οὕτω δεῖ καὶ τὰς καρδίας ἡμῶν συνενοῦσθαι τῇ ἀμοιβαίᾳ ἀγάπῃ, τῇ ἀδελφότητι, ἑνὶ φρονήματι, ἑνὶ πνεύματι ἐν τῇ διακονίᾳ τῷ Θεῷ, τῷ Βασιλεῖ καὶ τῇ Πατρίδι». (См. Прибавл. къ Церк. Вѣдом. за 1895 г. № 47. Стр. 1684—1685).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# VII.

## ΛΟΓΟΣ *)

ἐπὶ τῷ Ἰωβηλαίῳ τοῦ Αὐτοκρατορικοῦ παρὰ τῇ Ἁγιωτάτῃ Διοικούσῃ Συνόδῳ πασῶν τῶν Ῥωσσιῶν Ἐπιτρόπου κ. Κ. Π. Ποπεδονότσεβ, τὴν 15 Ἰουνίου 1896 ἔτους.

Χθὲς παρὰ πάντων ἡμῶν ἐνεχείρισα τῷ Κωνσταντίνῳ Πετρόβιτς, συνῳδὰ τῇ κοινῇ ἐπιθυμίᾳ ἡμῶν, τὴν ἁγίαν εἰκόνα τῆς Σκέπης τῆς Θεομήτορος καὶ εἶπον αὐτῷ, ὅτι πάντες ἡμεῖς ἐξ εἰλικρινοῦς καρδίας δεόμεθα τῆς Παναμωμήτου σκεπᾶσαι αὐτὸν τῇ σκέπῃ Αὐτῆς καὶ διαφυλᾶξαι ἐν καλῇ ὑγείᾳ ἐπὶ πολλὰ ἔτη. Ὁ Κωνσταντῖνος Πετρόβιτς ἀνέθετό μοι ἐκφράσαι ὑμῖν τὴν ἐγκάρδιον αὐτοῦ εὐγνωμοσύνην ἐπὶ τῇ ἐν προσευχῇ μνήμῃ αὐτοῦ καὶ ἐπὶ τῇ ἁγίᾳ εἰκόνι. Εἶπεν, ὅτι εὐφραίνεται ἐπὶ τῇ τοιαύτῃ ἐκφράσει τῶν πρὸς αὐτὸν αἰσθημάτων ἡμῶν.

Νῦν ἡμεῖς ηὐξάμεθα ὑπὲρ αὐτοῦ, καὶ βεβαίως ἦμεν ἂν χαίροντες προσωπικῶς αὐτὸν προσαγορεύοντες, ἀλλ' αὐτὸς οὐκ ἔστιν ἐν μέσῳ ἡμῶν. Κινηθεὶς τῇ προσούσῃ αὐτῷ ἀληθεῖ χριστιανικῇ μετριότητι, ἀπέφυγε τὴν ἀποδοχὴν συγχαρητηρίων καὶ ἀπῆλθεν ἐκ τῆς πόλεως. Αὐτὸς οὐκ ἔστιν ἐν ἡμῖν, ἀλλὰ τὸ στόμα ἡμῶν οὐ δύναται δεσμευθῆναι τῇ σιωπῇ. Οὐ δυνάμεθα ἀρνηθῆναι ἐν χαρᾷ κατὰ τὴν νῦν ἐπιφανῆ ἡμέραν τῆς πεντηκονταετηρίδος τῆς ἐν τῇ ὑπηρεσίᾳ δράσεως αὐτοῦ κἂν ἐν βραχεῖ ὁμιλῆσαι περὶ αὐτῆς. Πρώτιστα οὐκ ἔστι μὴ εἰπεῖν, ὅτι πάντες ἡμεῖς εὐτυχεῖς, ὅτι ἱστάμεθα πέριξ τοιούτου ἀνδρὸς, ὡς ὁ Κωνσταντῖνος Πετρόβιτς. Αὐτὸς καθ' ὅλας τὰς ἡμέρας διδάσκει ἡμᾶς τῇ ἀκαμάτῳ φιλοπονίᾳ αὐτοῦ, ἀεὶ ὁρῶμεν αὐτὸν ἐπὶ τοῦ ἔργου: ἀναγινώσκοντα ἢ γράφοντα. Αὐτὸς διδάσκει ἡμᾶς ἐκπληροῦν τὰ καθήκοντα τῆς κλήσεώς τιμίως, ἀγαπᾶν τὴν δικαιοσύνην, τὴν εἰλικρίνειαν καὶ ἐκκλίνειν τοῦ ψεύδους καὶ τῆς ἀπάτης.

Μεγάλη αὐτοῦ ἡ σημασία, ὡς ἀνδρὸς πολιτικοῦ. Κεκτημένος πολυμερεῖς γνώσεις ἐν τοῖς τῶν πολιτικῶν ἐπιστημῶν, αὐτὸς ἀεὶ ἐμπείρῳ χειρὶ ἐχρῆτο τοῖς θησαυροῖς τῆς γνώσεως, ὅτε μετεῖχεν ἐν τῇ λύσει πολυποικίλων ζητημάτων, ἀνηκόντων εἰς τὴν πολιτικὴν κυβέρνησιν. Ἀεὶ παρακολουθῶν τῇ φιλολογίᾳ τῆς πατρίδος καὶ τῆς ἀλλοδαπῆς ὡς πρὸς τὸ κοινωνικὸν ζήτημα, αὐτὸς, ὡς ἡ σοφὴ μέλισσα, συνέλεγε πᾶν τὸ χρησιμεῦον εἰς τὴν διασάφησιν ἐκείνων τῶν πολιτικῶν προβλημάτων, εἰς ὧν τὴν λύσιν

*) Ὁ λόγος οὐκ ἦν γεγραμμένος· ἀνεγράφη δὲ καὶ ἀναπαράγεται ἐνταῦθα ἐκ μνήμης παραπλησίως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκαλεῖτο. Ὀρθῶς νοῶν τὰς ἱστορικὰς βάσεις τοῦ πολιτικοῦ βίου τῆς Ῥωσσίας, αὐτὸς ἀεὶ πιστῶς ἐνόει τὰς ἱστορικὰς τύχας τῆς μεγάλης πατρίδος ἡμῶν. Ἀμετατρέπτως καὶ ἀνυποκρίτως ἀφωσιωμένος τῇ ἰδέᾳ τῆς αὐτοκρατορίας, ἐφύλαττε τὸ ἀνέπαφον ταύτης τῆς ῥιζικῆς ἀρχῆς τοῦ πολιτικοῦ ἡμῶν βίου ἐν ἡμέραις ταραχῆς, ὅτε αἱ ἔξωθεν προσπνευσθεῖσαι ὀλέθριοι διδασκαλίαι ἰδίᾳ δυνάμει ἐπεβούλευον τῇ ἀσφαλείᾳ τῶν ῥιζικῶν ἀντηρίδων τοῦ Ῥωσσικοῦ κράτους. Ὢν πιστὸς θεράπων τῶν Βασιλέων, ἀεὶ ἔλεγε τοῖς Βασιλεῦσι τὴν ἀλήθειαν, καὶ οἱ Βασιλεῖς ἠγάπων αὐτόν.

Λόγου γινομένου περὶ τοῦ Κωνσταντίνου Πετρόβιτς ὡς ἀνδρὸς πολιτικοῦ, οὐκ ἔστι μὴ στρέψαι τὴν δέουσαν προσοχὴν ἐπὶ τὰ ὑψηλὰ χαρίσματα αὐτοῦ ὡς νομικοῦ. Ὢν εὐφυὴς καθηγητής, ἠδυνήθη καταρτίσαι ἄριστον στοιχειῶδες βιβλίον τοῦ πολιτικοῦ δικαίου, πολλοῦ ἄξιον καὶ μὴ ἐπιδεχόμενον ἀλλαγὴν ἐγχειρίδιον ἑκάστῳ νομικῷ. Ἐν τῇ ἀναγνώσει τῶν τοῦ Κωνσταντίνου Πετρόβιτς πονημάτων περὶ πολλῶν νομικῶν ζητημάτων οὐκ ἔστι μὴ θαυμάσαι τὴν ἀσυνήθη σαφήνειαν τῶν θεωριῶν αὐτοῦ ἐπὶ τῶν διαφόρων τοῦ δικαίου συλλογῶν. Τὸ βάθος τῆς γνώσεως αὐτὸς τεχνικῶς συνήνου τῷ σαφεῖ καὶ τῷ ἐπαγωγῷ τῆς ἐκθέσεως. Ὢν λεπτὸς ἴδρις τῶν ἰδιοτήτων τοῦ καθεστῶτος τοῦ ῥωσσικοῦ δικαίου, αὐτὸς σπανίᾳ δεξιότητι ἐγνώρισεν αὐτὰς τῷ ἀναγνώστῃ. Μεγάλα καὶ πολυποίκιλα τὰ ἔργα αὐτοῦ ἐν τοῖς τῆς νομοθεσίας. Δι' ἡμᾶς δέ, τοὺς ὑπηρετοῦντας ὑπὸ τὴν χειραγωγίαν αὐτοῦ ἐν τῇ κυβερνήσει τῆς ὀρθοδόξου ὁμολογίας, ἰδίαν ἀξίαν κέκτηται ἡ δρᾶσις αὐτοῦ ὡς Αὐτοκρατορικοῦ Ἐπιτρόπου παρὰ τῇ Ἁγιωτάτῃ Συνόδῳ. Οἷος δὴ αὐτὸς ὡς Αὐτοκρατορικὸς Ἐπίτροπος ἐν τῇ Ἁγιωτάτῃ Συνόδῳ;

Ἀπάντησιν εἰς ταύτην τὴν ἐρώτησιν εὑρήσομεν ἐν τῷ προσφιλεῖ τῷ Κωνσταντίνῳ Πετρόβιτς στιχηρῷ, τῷ ψαλλομένῳ ἐν τῷ Ὄρθρῳ τὴν Μεγάλην Πέμπτην ἐν τοῖς Αἴνοις. Γινώσκετε, ὅτι ἐν τῷ θαυμασίῳ τούτῳ στιχηρῷ: «Μυσταγωγῶν σου Κύριε τοὺς Μαθητάς....» παρέχεται πᾶσι τοῖς πιστοῖς ἐν κατανυκτικοῖς ῥήμασιν ὑπόδειξις, πῶς ὁ ἀληθὴς Χριστιανὸς ὀφείλει μιμεῖσθαι τὸν Χριστόν. Ἐκεῖ εἴρηται: «ὁ θέλων πρῶτος εἶναι, ἔστω ἔσχατος· ὁ δεσπότης, ὡς ὁ διάκονος» (Ὅρα Τριώδιον. Ἔκδ. 1891. Σελ. 369. Καὶ νῦν Ἦχος πλ. α΄). Καὶ ὁ ἡμέτερος πολλοῦ ἄξιος Κωνσταντῖνος Πετρόβιτς τῷ τε ἐντύπῳ λόγῳ καὶ τῷ ἰδίῳ παραδείγματι ἀεὶ ἐδίδασκε μιμεῖσθαι τὸν Χριστόν, ἀφ' οὗ οὐδεὶς φόβος ἠδύνατο ἂν χωρίσαι αὐτόν. Αὐτὸς οἶδεν, ὅτι οἱ μένοντες ἐν Χριστῷ τρυγήσουσι σταφυλήν. Καὶ αὐτὸς ἐτρύγησε ταύτην τὴν σταφυλήν. Ὡς καλὸς μαθητὴς τοῦ Χριστοῦ ἐμερίμνησεν οὐ περὶ ἐνισχύσεως τῆς ἑαυτοῦ ἀξίας, ἀλλὰ προσῆλθε διακονῆσαι τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ χαίροντες ἔβλεπον οἱ Ὀρθόδοξοι λαοί, ὅτι τῇ εὐμενείᾳ τοῦ Μονάρχου καὶ ταῖς φροντίσι τῆς Ἁγιωτάτης Συνόδου κατὰ τὰ ἔτη τῆς Αὐτοκρατορικῆς Ἐπιτροπείας αὐτοῦ ἠνεῴχθησαν οἱ ἄνευ ἀνάγκης πρὸς λύπην τῶν πιστῶν κεκλεισμένοι ναοὶ τοῦ Θεοῦ, ἐκ νέου ἐκτίζοντο πολυάριθμοι Ἐκκλησίαι ἐν τῇ πρωτευούσῃ, ταῖς πόλεσι καὶ ταῖς κώμαις. Ὀρθῶς νοῶν τὴν φωτιστικὴν ἀξίαν τοῦ κλήρου, ὁ Κωνσταν-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῖνος Πετρόβιτς ἰδίως ἐσπούδαζε περὶ τὴν βελτίωσιν τοῦ διδακτικοῦ καὶ παιδαγωγικοῦ μέρους τῶν Ἐκκλησιαστικῶν ἐκπαιδευτηρίων, περὶ τὴν αὔξησιν τῶν πρὸς βελτίωσιν αὐτῶν πόρων· ἐφρόντιζε περὶ τῶν ἐπαρχιακῶν Σχολῶν τῶν θηλέων, περὶ πολλοῦ ἐποιεῖτο τὴν κανονικὴν θέσιν τῆς ἀγωγῆς τῶν θυγατέρων τῶν κληρικῶν. Ἀνυστάκτως ἐμερίμνα περὶ βελτιώσεως τῆς ὑλικῆς θέσεως τοῦ κλήρου, τῆς αὐξήσεως τοῦ μισθοῦ αὐτοῦ καὶ τῆς συντάξεως. Μετ' ἀγάπης ἐξεζήτει βουλὰς πρὸς ὕψωσιν τῆς φωτιστικῆς δυνάμεως τοῦ κλήρου πρὸς τὸν λαόν, πρὸς ἐνίσχυσιν τῆς ἱεραποστολικῆς δράσεως αὐτοῦ, πρὸς φωτισμὸν τῶν καθημένων ἐν σκότει τοῦ σχίσματος καὶ τῶν αἱρετικῶν διδασκαλιῶν, καὶ ἐδείκνυε πᾶσαν συνέργειαν τῇ γενέσει τῶν ἀδελφοτήτων. Καὶ δὴ σπουδαίαν ἱστορικὴν ἀξίαν κέκτηται ὁ κ. Κ. Πετρόβιτς ἐν τῷ ἔργῳ τῆς ἀναγεννήσεως τῆς Σχολῆς τῆς Ἐκκλησιαστικῆς παροικίας. Στεῤῥῶς πεπεισμένος περὶ τούτου, ὅτι ἡ Ἐκκλησία δύναται διὰ τῆς Σχολῆς ὠφελεῖν τὴν ἀγωγὴν τῶν μελλουσῶν γενεῶν, στηρίζουσα αὐτὰς ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως καὶ ἐν τῇ χριστιανικῇ εὐσεβείᾳ, ὁ Κωνσταντῖνος Πετρόβιτς ἔθηκε τὴν ψυχὴν αὐτοῦ εἰς σύστασιν Ἐκκλησιαστικῶν Σχολῶν. Ἐκ καρδίας ἀγαπῶν τὴν Σχολήν, αὐτὸς ὁ ἐκτιμητὴς παντὸς καλοῦ καὶ ὡραίου, ἐδείκνυεν ἀδιάλειπτον φροντίδα περὶ τῆς κανονικῆς θέσεως τῆς Ἐκκλησιαστικῆς ὑμνῳδίας καὶ εἰλικρινῶς ἔχαιρεν, ὅτε εἶχε καιρὸν κατανύττεσθαι τῇ εὐήχῳ ψαλμῳδίᾳ τῶν χορῶν τῶν Σχολῶν.

Μεγάλοι οἱ μόχθοι, οὓς ὑπήνεγκεν ὁ προσφιλὴς ἡμῶν Κ. Πετρόβιτς, καὶ ἡμεῖς εἰλικρινῶς εὐχόμεθα, ὅπως ὁ Κύριος κρίνῃ αὐτῷ μὲν ἔτι ἐπὶ μακρὸν ἐν καλῇ ὑγείᾳ ἐργάζεσθαι ἐπ' ἀγαθῷ τῆς πατρίδος, ἡμῖν δὲ δοθῇ ἐπὶ πολλὰ ἔτη διδάσκεσθαι τὰς σπανίας ἰδιότητας τοῦ νοὸς καὶ τῆς καρδίας αὐτοῦ καὶ διακονεῖν ὑπὸ τὴν προστασίαν αὐτοῦ. Πολλὰ τὰ ἔτη—τῷ Κωνσταντίνῳ Πετρόβιτς. (См. Прибавл. къ Церков. Вѣдом. за 1896 г. № 25. Стран. 885—887).

# VIII.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐπισκέψει τοῦ Σεμιναρίου τῆς Ριαζάνης, τὴν 7 Μαρτίου 1897 ἔτους.

Ἔκπαλαι ἐγὼ ἔμελλον ἐπισκέψασθαι τὸ Σεμινάριον τῆς Ριαζάνης. Χαίρω, ὅτι ἐπέστη μοι τέλος οὗτος ὁ καιρός· χαίρω βλέπων τοῦτο τὸ Σεμινάριον, τὸ ἐκπαιδεῦον τοσούτους ὀτρηροὺς θεράποντας τῆς ἁγίας Ἐκκλησίας καὶ διδασκάλους τοῦ λαοῦ. Καλὴν ὑπηρεσίαν αὐτὸ παρέσχετο τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐκκλησίᾳ τῆς πατρίδος, καὶ οὐκ ἔστι μὴ εὔχεσθαι, ὅπως οὕτω καρποφόρον ᾖ τὸ ἔργον αὐτοῦ καὶ ἐν τῷ μέλλοντι, ὥστε τοὺς μαθητὰς αὐτοῦ προσκτήσασθαι ἐν αὐτῷ τὴν σταθερὰν ἀγάπην πρὸς τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ καὶ τὴν μετ' αὐταπαρνήσεως προθυμίαν διακονῆσαι αὐτῇ, γινώσκοντας, ὅτι ἡ Ἐκκλησία ἡμῶν ἐτήρησεν ἐν ὅλῃ τῇ καθαρότητι τὴν πίστιν τὴν Ὀρθόδοξον, τὴν πίστιν τὴν οἰκουμενικήν, ὅτι αὐτὴ ἀναλλοιώτως ἐφύλαξεν ἐν ὅλῃ τῇ ἀνεπαφείᾳ τὴν διδασκαλίαν τῶν πατέρων, μὴ ἀκρωτηριάζουσα αὐτὴν μήτε τῇ κενοσπούδῳ τάσει πρὸς παντοκρατορικὴν κοσμικὴν ἐξουσίαν, μήτε τοῖς αὐθαιρέτοις σοφίσμασι τῶν μὴ κεκλημένων διδασκάλων. Τὸν ἀνεκτίμητον θησαυρὸν τῆς πίστεως ἐτήρησεν ἡμῖν ἡ ἁγία Ἐκκλησία. Τὸ ἥσυχον, τὸ ἀμάραντον φῶς ταύτης τῆς πίστεως ἐκχέει τὰς ζωτικὰς αὐτοῦ ἀκτῖνας, ἄνευ διακρίσεως χρόνων καὶ τόπων, πανταχοῦ, ὅπου ἡ Θεία Πρόνοια ἀπεργάζεται τὴν σωτηρίαν ἐν μέσῳ τῶν φυλῶν καὶ τῶν ἐθνῶν. Ἡ οἰκουμενικὴ διδασκαλία τῆς πίστεως σοφίζει πάντας τοὺς ἀνθρώπους, οἵου γένους καὶ ἂν ὦσιν, καὶ εὐτυχεῖς ἡμεῖς, ὅτι τοῦτο τὸ τῆς χάριτος οὐράνιον φῶς ἐφώτισε τὴν γενέτειραν ἡμῶν. Αὐτὸ ἀπειργάσατο τὴν δόξαν αὐτῆς, αὐτὸ ἐμεγάλυνεν αὐτήν. Ἐμβλέψατε εἰς τὴν ἀπεριόριστον ἔκτασιν τῆς πατρίδος ἡμῶν,—ὁ ἐκ πολλῶν μιλιουνίων λαός, ὁ πλούσιος ταῖς νέαις δυνάμεσι, ταχὺ πορεύεται τὴν ὁδόν, τὴν κεχαραγμένην ὑπὸ τῆς Δεξιᾶς τοῦ Πανυψίστου· αὐτὸς ἐκλήθη λύειν τὰ τοῦ κόσμου ζητήματα, καὶ ὁ κρείσσων φορεὺς τῆς ἐθνικῆς ἰδέας αὐτοῦ, ὁ ἀκαίρως σβεσθεὶς Εἰρηνοποιός—Αὐτοκράτωρ, τῇ κραταιᾷ καὶ ἰσχυρᾷ χειρὶ ἐξήγαγεν αὐτὸν εἰς ἐκείνην τὴν ὁδόν, ἣν αὐτὸς νῦν πορεύεται εὐπειθὴς τῷ στεφηφόρῳ αὐτοῦ Ἡγεμόνι, τῷ Φύλακι τῶν πατρικῶν διαθηκῶν.

Πρὸς πραγμάτωσιν τῶν τοῦ κόσμου ζητημάτων, τῶν ἐπικειμένων τῇ Ῥωσσίᾳ, ἀναγκαιοῦσι πλὴν τοῦ πλουσίου ταμείου καὶ τοῦ ἰσχυροῦ στρατοῦ, ἰσχυραὶ καὶ ὑγιεῖς ἠθικαὶ δυνάμεις, ἀναγκαῖοι αὐτῇ ἄνδρες ὁλοψύχως ἀφωσιωμένοι ἐκείναις ταῖς ἀρχαῖς, ἐφ' ὧν στηρίζεται ἡ ἁγία Ῥωσσία, ἄνδρες ἐρρωμένως καὶ ἐν συνειδήσει ὁμολογοῦντες τὴν πίστιν τὴν Ὀρθόδοξον, εἰλικρινῶς ἀφωσιωμένοι τῷ Βασιλεῖ καὶ ἕτοιμοι θυσιάσαι ἑαυτοὺς διὰ τὸ κοινὸν ἀγαθόν. Αὕτη ἡ ἠθικὴ δύναμις παιδευτέα. Τίς δὲ ἐκλήθη εἰς τὸ ἅγιον τοῦτο ἔργον; Ἐν τῷ χορῷ τῶν διδασκάλων περίβλεπτος θέσις παρ' ἡμῖν ἔλαχε τοῖς ποιμέσι τῆς Ἐκκλησίας. Τί δὲ ὀφείλουσιν αὐτοὶ πράττειν, κεκλημένοι εἰς ταύτην τὴν μεγάλην διακονίαν; Πρώτιστα καὶ μάλιστα αὐτοὶ ὀφείλουσιν ἄγειν τοὺς πιστοὺς εἰς σωτηρίαν. Γινομένου δὲ λόγου περὶ τῆς οὐρανίου πατρίδος,—στηρίζειν τοὺς πιστοὺς ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως, καὶ τῷ οἰκείῳ παραδείγματι ἐμφυτεύειν αὐτοῖς τοὺς κανόνας τῆς χριστιανικῆς εὐσεβείας, ἀποκαλύπτειν τὸ μεγαλεῖον καὶ τὴν ἀξίαν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διατιθέναι τὴν καρδίαν εἰς ἔργα ἀγάπης καὶ ἐλέους. Δεῖ τὸν ναὸν τοῦ Θεοῦ εἶναι ἰδίας φροντίδος καὶ προνοίας αὐτῶν ὑπόθεσιν. Ἐν αὐτῷ, τῷ καταγωγίῳ τούτῳ τῷ ἀρίστῳ διὰ τοὺς θλιβομένους καὶ ἀμοιρήσαντας, ἀπαύστως ἐκχέονται ἐπὶ τοὺς προσευχομένους ἀκτῖνες τοῦ ἀνεσπέρου φωτὸς τῆς πίστεως τοῦ Χριστοῦ. Αἱ τὰ μάλιστα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οἰκοδομητικαὶ ὑμνῳδίαι τῆς Ἐκκλησίας ἀνέτρεφον ἐπὶ πολλοὺς αἰῶνας τὸν λαὸν τὸν ὀρθόδοξον καὶ ἐνέβαλον εἰς τὴν καρδίαν αὐτοῦ τὰ καλὰ χριστιανικὰ αἰσθήματα καὶ ἐκείνην τὴν προσευκτικὴν διάθεσιν τοῦ πνεύματος, ἥτις οὐχὶ σπανίως παρὰ τοῖς ὀλίγον πεπαιδευμένοις ἀντικαθίστα τὴν θετικὴν γνῶσιν τῶν θεολογικῶν ἀληθειῶν. Τὸ κειμήλιον τῶν Ἐκκλησιαστικῶν ὑμνῳδιῶν ἀνάγκη ἀποκαλύπτειν τοῖς ἀνθρώποις τοῦ Θεοῦ ἐν εὐχαῖς, πλουσίαις τῷ περιεχομένῳ, διδακτικαῖς τῇ ἁπλότητι καὶ τεχνικαῖς τῇ καλλονῇ τῆς ἐκθέσεως. Ἀνάγκη ἐκκλησιαστικῶς ἀνατρέφειν τὸν λαὸν τὸν ὀρθόδοξον. Τὰ ποιήματα τῶν ἀθανάτων συγγραφέων τῶν ἱερῶν κανόνων ἐν μεταφράσει εἰς τὴν μητρικὴν ἡμῶν γλῶσσαν ἐπὶ αἰῶνας ἀντήχουν τοὺς θόλους τῶν ναῶν ἡμῶν καὶ ἐνέπνεον ταῖς καρδίαις τῶν πιστῶν κατανυκτικὰ αἰσθήματα τῆς εὐσεβείας πρὸς τὸν ἐν Τριάδι Ἕνα Θεόν, τὸν Αἴτιον πάντων τῶν ἀγαθῶν, τὸν Ἀπολυτρωτὴν τοῦ κόσμου, Χριστὸν τὸν Σωτῆρα καὶ τὴν Ὑπεράμωμον Μητέρα Αὐτοῦ.

Ὁ καλὸς ποιμήν, ὁ γινώσκων τὸ κάλλος τῶν Ἐκκλησιαστικῶν ἡμῶν ὑμνῳδιῶν, δυνήσεται δεῖξαι τὸ κάλλος τοῦτο καὶ τοῖς τέκνοις τῆς ἁγίας Ἐκκλησίας. Ἡ συνεχὴς μέριμνα περὶ τῆς μετ' εὐλαβείας λειτουργίας, τῆς εὐκόσμου ψαλμῳδίας καὶ ὀρθῆς ἀναγνώσεως ἀναμφισβητήτως ἐπάγεται προσκυνητὰς εἰς τοὺς ναούς. Ὅσῳ πλεονάκις οἱ ἄνθρωποι ἐπισκέπτονται τὰς Ἐκκλησίας, τόσῳ μᾶλλον πειρῶνται ἕπεσθαι τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ κατὰ τὸν καθημερινὸν βίον. Ὁ καλὸς ἱερεὺς μετ' ἀγάπης ἀφορᾷ εἰς τὴν Ἐκκλησίαν αὐτοῦ, καὶ αὐτὴ ὑψοῦται εὖ κεκοσμημένη, ἄγουσα εἰς τὸν οὐρανόν, οἰκοδομοῦσα τοὺς ἀνθρώπους εἰς πᾶν καλὸν καὶ ἐπωφελές. Καὶ πῶς καλόν, ὅτε ὑπὸ τὴν σκέπην τοῦ ναοῦ ἵσταται σχολή, παρέχουσα τῷ ποιμένι τὸ δυνατὸν οὐ μόνον τοὺς παῖδας χειραγωγεῖν εἰς τὸν Χριστόν, ἀλλὰ καὶ ἐκ νεότητος στηρίζειν τοὺς ἀνθρώπους ἐν τῇ γνώσει τοῦ Νόμου τοῦ Θεοῦ καὶ ἐν τῇ ἐκμαθήσει τῶν τῆς προκαταρκτικῆς μορφώσεως. Τῇ Σχολῇ τῇ Ἐκκλησιαστικῇ εἰκὸς εἶναι καὶ Σχολὴν τῆς παροικίας, προσφιλῆ πάσῃ τῇ παροικίᾳ. Δοκεῖ ἡμῖν ὁρᾶν τὴν ἕω ἐκείνης τῆς γηθοσύνου ἡμέρας, ὅτε ἐν Ῥωσσίᾳ ἐντελῶς ὁ παροικιακὸς βίος ἔσται ἐν διακοσμήσει καὶ τάξει. Ἡ Ἐκκλησιαστικὴ παροικία,—αὕτη ἡ ἁπλῆ καὶ μόνιμος ἀντηρὶς τῆς κοινωνικῆς εὐταξίας,—προσδοκᾷ ἔτι τὸν εὐτρεπισμὸν αὐτῆς. Ἦν, ὅτε αὐθυπάρκτως ἐξειργάζοντο ἰδιόρρυθμοι τύποι τοῦ παροικιακοῦ βίου. Τὰ ἱστορικὰ ἐγένοντο εἶτα δυσμενῆ τῇ περαιτέρῳ ἀναπτύξει τῆς παροικίας. Νῦν δέ, ὅτε ἡ Ῥωσσία ἀνεπιστρεπτεὶ εἰσῆλθεν εἰς τὴν τρίβον τῆς ἐθνικῆς ἀναπτύξεως, ἀναμφιβόλως ἐφίσταται ὁ χρόνος τῆς τε διακοσμήσεως καὶ τάξεως τῆς παροικίας. Ἡ ἀξία τοῦ ἱερέως ἐν τούτῳ τῷ σταδίῳ φαίνεται μετ' ἰδίας δυνάμεως· αὐτός, ὢν ποιμὴν τῆς παροικίας, οὐ δύναται μὴ γινώσκειν πάντα τὰ μέλη τῆς παροικιακῆς κοινότητος, αὐτῷ γνωστοὶ πάντες οἱ πένητες, οἱ ἀσθενεῖς, αὐτὸς σὺν τοῖς κρείσσοσι τῆς παροικίας ἀνδράσιν ὀφείλει ἐκζητεῖν τρόπους πρὸς ἐκπλήρωσιν τῶν ἐκπαιδευτικῶν ἀναγκῶν τῆς παροικίας. Ἐν τῇ κανονικῇ ῥοῇ τοῦ παροικιακοῦ βίου φροντιστέον τῇ παροικίᾳ περὶ τῶν πενήτων, ἀσθενῶν καὶ πτωχῶν. Τῇ παροικίᾳ δὲ προνοητέον ἐστὶ κατὰ τοὺς πόρους

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ περὶ τῆς Σχολῆς. Δεῖ τὴν Σχολὴν εἶναι προσφιλέστατον κτῆμα τῆς παροικίας. Αὐτὴ καλεῖται ἀναθρέψαι ἐν τοῖς παισὶ τὰ ἅγια ἐκεῖνα αἰσθήματα, ἅπερ ὀχυρώσουσιν αὐτοὺς ἀπὸ πολλῶν δεινῶν, ἔξωθεν ἐπερχομένων. Ἡ συναρμογὴ τῶν μελῶν τοῦ παροικιακοῦ οἴκου, τοῦ συνηγμένου ὑπὸ τὴν σημαίαν τοῦ ἁγίου ναοῦ, συντελέσει τῇ προφυλάξει τῶν πιστῶν ἀπὸ ἀποπλανήσεων εἰς αἱρέσεις καὶ σχίσματα. Ἀλλὰ καὶ πρὸς ταῖς φροντίσι περὶ τοῦ εὐτρεπισμοῦ τῆς παροικιακῆς εὐποιΐας, πόσον ὁ καλὸς ποιμὴν δύναται ὠφελῆσαι τοὺς παροίκους αὐτοῦ τῇ ἑαυτοῦ ἐγκαρδίῳ καὶ φιλοστόργῳ σχέσει πρὸς αὐτούς! Ἀδιαλείπτως μεριμνῶν περὶ τῆς σωτηρίας τῶν ψυχῶν αὐτῶν, παρασκευάζων αὐτοὺς εἰς τὴν κληρονομίαν τῶν αἰωνίων ἀγαθῶν, αὐτὸς δύναται ἀφ' ἡμέρας εἰς ἡμέραν ἀνακουφίζειν αὐτοῖς τὰς λύπας καὶ θλίψεις τοῦ ἐνταῦθα βίου. Ἐπισκεπτόμενος τοὺς ἀσθενεῖς, παραμυθούμενος τοὺς θλιβομένους, αὐτὸς δείξει ἑαυτὸν ποιμένα καλόν, ἀγαπώμενον ὑπὸ τοῦ ποιμνίου. Αὕτη ἡ ἀξία τοῦ ἱερέως, ὡς διδασκάλου καὶ χειραγωγοῦ τοῦ ἠθικοῦ βίου, φαίνεται ἰδίᾳ δυνάμει κατὰ τὸν ἐνεστῶτα χρόνον, ὅτε οἱ μὴ κεκλημένοι διδάσκαλοι ἐκδηλοῦσι ἰδίαν σπουδὴν ἐκσπᾶσαι ἐκ τῆς καρδίας τοῦ ῥωσσικοῦ λαοῦ, ὅπερ ἰδίᾳ προσφιλὲς αὐτῷ—τὴν πίστιν τὴν ὀρθόδοξον. Οἱ ἐχθροὶ ἡμῶν πολυάριθμοι. Ἐκ διαφόρων μερῶν αὐτοὶ ἐπίκεινται ἡμῖν, εἰσὶ καὶ ζῶντες ἐν ἡμῖν, εἰσὶ καὶ ἔξωθεν προσερχόμενοι. Αὐτοὶ ἰσχυροὶ τῷ μίσει πρὸς τὴν Ἐκκλησίαν τὴν Ὀρθόδοξον. Πολλάκις φανατικῶς ἀφοσιοῦνται ταῖς μὴ ὀρθαῖς διδασκαλίαις αὐτῶν. Ἀγὼν πρόκειται οὐκ εὐχερής, ἀλλ' ἡ νίκη—ὄπισθεν τῆς ἀληθείας, καὶ ἡμεῖς πιστεύομεν, ὅτι ἡ ἀλήθεια, ἡ πεφυλαγμένη ὑπὸ τῆς Ἐκκλησίας νικήσει.

«Οἰκοδομήσω Μου τὴν Ἐκκλησίαν, εἶπε Χριστὸς ὁ Σωτήρ, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν Αὐτῆς». Καὶ ἡμεῖς πιστεύομεν, ὅτι οἱ ἐχθροὶ ἡττηθήσονται, ἀλλ' εὐχόμεθα, ὅπως οὐχὶ ἐν ἄλλοις τισὶν ὁρίοις, ἀλλὰ παρ' ἡμῖν ἑορτάζηται ὁ θρίαμβος τῆς ἀληθείας. Ἀλλὰ γοῦν διὰ τὸν ἀγῶνα καὶ τὴν νίκην ἀναγκαῖοι—ἀγωνισταί. Πρὸς τοῦτον τὸν ἀγῶνα καλεῖσθε ὑμεῖς, οἱ μέλλοντες ποιμένες, καὶ ὅπως τύχητε τῶν στεφάνων τῆς ἀμαράντου δόξης ἀνάγκη ἡμῖν ἐν ψυχικῇ καθαρότητι συνάγειν ἐνταῦθα θησαυροὺς πίστεως καὶ γνώσεως. Προσφιλὲς κτῆμα ὑμῶν ἔστωσαν ἡ εἰλικρινής, σταθερὰ πίστις, ἡ ἀνυπόκριτος προσευκτικὴ διάθεσις τοῦ πνεύματος, ἡ ζῶσα διάθεσις πρὸς τὰ θεολογικά, ἡ ὁρμὴ πρὸς πάσας τὰς γνώσεις, τὰς ἀναγκαίας τῷ ἱερεῖ, ἡ χριστιανικὴ εὐαγωγία ἐν τῇ μετὰ τῶν ἀνθρώπων συναναστροφῇ καὶ ἡ συνεχὴς φροντὶς περὶ ἀπομακρύνσεως τῶν μὴ καλῶν ἕξεων, τῶν δυναμένων σκανδαλίζειν ἢ ταράσσειν τοὺς πλησίον. Ἐθίζετε ἑαυτοὺς εἰς τὴν ἔννοιαν, ὅτι οὐκ ἔστι κλῆρος ἀνώτερος καὶ ἐπωφελέστερος τῆς διακονίας τῇ ἁγίᾳ Ἐκκλησίᾳ· ἀναλογίσθητε αὐτοί, ὡς μέλλοντες ποιμένες, ὑμεῖς καλεῖσθε παρασκευάζειν τοὺς ἀνθρώπους εἰς τὴν αἰώνιον καὶ μακαρίαν ζωήν, καλεῖσθε ποιεῖν τοὺς ἀνθρώπους τέκνα τοῦ φωτὸς καὶ κληρονόμους τῶν αἰωνίων ἀγαθῶν. Ἡ τοιαύτη δρᾶσις βεβαίως μᾶλλον εὐποιητική, ἢ αἱ μέριμναι, αἱ καθιερωμέναι τῇ ἐκπληρώσει τῶν προσκαίρων ἐπιγείων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χρειῶν καὶ ἀναγκῶν. Οὐκ ἐλαφροὶ μόχθοι προσδοκῶσιν ὑμᾶς, ἀλλὰ φέροντες αὐτοὺς ὑμεῖς ἐλπίσετε, ὅτι ὁ ἐλεήμων Κύριος οἰκτειρήσει ὑμᾶς τῷ πλούτῳ τῶν χαρισμάτων Αὐτοῦ καὶ ποιήσει ὑμᾶς χρησίμους ἐργάτας ἐν τῷ ἀγρῷ Αὐτοῦ. (См. Прибавл. къ Церков. Вѣдом. за 1897 г. № 11. Стран. 409—411).

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

# IX.

## ΛΟΓΟΣ

ἐπὶ τῇ ἐπισκέψει τῆς ἐν Ῥιαζάνῃ Ἐπαρχιακῆς Σχολῆς τῶν θηλέων, τὴν 8 Μαρτίου 1897 ἔτους.

Μετὰ κατανύξεως ἠκροασάμην τῆς ψαλμῳδίας ὑμῶν. Καταφανές, ὅτι ὑμεῖς ἀγαπᾶτε τὴν Ἐκκλησιαστικὴν ὑμνῳδίαν, καὶ εὐκτέον, ὅπως ὑμεῖς οὐ μόνον γινώσκητε ψάλλειν, ἀλλὰ καὶ ἐφίκησθε ὡς δυνατὸν τῆς ἱκανότητος συνιστάναι οὐ μεγάλους χοροὺς καὶ χειραγωγεῖν αὐτούς. Αὗται αἱ γνώσεις ἰδίᾳ χρήσιμοι ἔσονται ὑμῖν, ἀποφοιτησάσαις ἐκ τῆς Σχολῆς. Πολλαὶ ἐξ ὑμῶν ἀφιερώσουσιν ἑαυτὰς τῷ διδασκαλικῷ ἐπαγγέλματι ἐν ταῖς Ἐκκλησιαστικαῖς Σχολαῖς, καὶ ἡ κατοχὴ ὑφ' ὑμῶν τῆς γνώσεως τοῦ διευθύνειν χορὸν ἔσται ὑμῖν μέγα κτῆμα. Δεῖ τὴν Ἐκκλησιαστικὴν Σχολὴν διδάσκουσαν παιδαγωγεῖν τοὺς παῖδας· καὶ ἡ ὑμνῳδία ἡ Ἐκκλησιαστικὴ παρίσταται ὡς ἓν ἐκ τῶν τὰ μάλιστα ἰσχυρῶν καὶ ἐπωφελῶν τοῖς παισὶ παιδαγωγικῶν βοηθημάτων. Οἱ παῖδες τοῦ λαοῦ, φύσει ὄντες μουσικοί, εὐχερῶς μανθάνουσι τὰ ἱερὰ ᾄσματα, τὸ δὲ ἐν παιδίᾳ μεμαθημένον διαμενεῖ κτῆμα ὅλου τοῦ βίου. Ἔμπειροι γινόμενοι τοῦ ᾄσματος, οἱ παῖδες ἀπαρατηρήτως μανθάνουσι καὶ τὸ κείμενον τῆς ὑμνῳδίας. Ἡ μνήμη αὐτῶν μάλ' εὐχερῶς καὶ εὐκόλως πλουτίζεται τῇ γνώσει πολλῶν πλουσίων τῷ βάθει τῆς ἐννοίας καὶ τῷ κάλλει τοῦ ὕφους ἱερῶν ῥημάτων.

Ὑμεῖς αὐταὶ ἴσως ἠκούσατε, πόσον ὁ λαὸς ἀγαπᾷ τὴν Ἐκκλησιαστικὴν ὑμνῳδίαν, πῶς προθύμως ἐν τοῖς χωρίοις συῤῥέουσιν εἰς τὴν συμψαλμῳδίαν τῶν ψαλλόντων οἱ γονεῖς. Πῶς δὲ χαίρουσιν αἱ καρδίαι τῶν γονέων, ἀκροωμένων ἐν τῷ ναῷ τῆς ψαλμῳδίας καὶ τῆς ἀναγνώσεως τῶν τέκνων αὐτῶν. Ἀλλὰ καὶ πρὸς τῇ Ἐκκλησιαστικῇ ὑμνῳδίᾳ εὐκτέον, ὅπως ὑμεῖς προσκτήσησθε ἐν τῇ Ἐπαρχιακῇ Σχολῇ ὡς δυνατὸν πλείονα πορισμὸν γνώσεων, ἐπωφελῶν ὑμῖν. Ἡ γνῶσις τῆς ἱστορίας τῆς Ἐκκλησίας παρέξει ὑμῖν τὸ δυνατὸν ἀρύσασθαι ἐκ τῶν φωτεινῶν σελίδων τῶν παρελθόντων αἰώνων τοῦ Ἐκκλησιαστικοῦ βίου τὰ ὑψηλὰ παραδείγματα τῆς σταθερᾶς πίστεως καὶ τῆς μετ' αὐταπαρνήσεως προθυμίας παθεῖν ὑπὲρ τοῦ Χριστοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τῆς Ἐκκλησίας. Τρέφετε τὰς καρδίας καὶ τὰς διανοίας τῶν παίδων ζώσαις διηγήσεσι περὶ τῶν ἄθλων καὶ τῆς ὑπομονῆς τῶν ἁγίων μαρτύρων, περὶ τοῦ βίου τῶν ὁσίων, περὶ τῶν ἔργων καὶ τῆς διδασκαλίας τῶν πατέρων τῆς Ἐκκλησίας. Ἀνατρέφετε ἐν ταῖς παισὶ τὴν ἀφοσίωσιν τῇ Ἐκκλησίᾳ, οἰκοδομεῖτε αὐτὰς ἐν ἁπλοῖς καὶ προσιτοῖς αὐταῖς λόγοις, τοῖς καλοῖς παραδείγμασι χριστιανικοῦ βίου, στηρίζετε αὐτὰς ἐν ταῖς προσευχτικαῖς ἕξεσιν. Ἀνατρέφετε μετ' ἀγάπης τὰ τέκνα τῆς Ῥωσσικῆς γῆς, ἐνοικίζετε ἐν ταῖς καρδίαις αὐτῶν τὴν ὁλόψυχον ἀφωσίωσιν τῷ Βασιλεῖ ἡμῶν, τῷ κραταιῷ Πατρὶ τῆς Πατρίδος. Καὶ δὴ πειρᾶσθε στηρίξαι ἐν αὐταῖς τὴν ἕξιν εἰς τό δίκαιον καὶ τὴν ἀλήθειαν. Σπουδάζετε ἐξευγενίσαι τὰς παῖδας· ἔχετε διὰ φροντίδος, ὅπως αὗται ὦσι καλαὶ καὶ πρὸς πάντας εὐπροσήγοροι, ὅπως ἡ χριστιανικὴ μαλάσσουσα δύναμις τῆς Σχολῆς θῇ ἀνεξίτηλον σφραγῖδα ἐπ' αὐτῶν. Ἐθίζετε αὐτὰς εἰς τὴν καθαρότητα καὶ κοσμιότητα, πειρᾶσθε διδάσκειν αὐτὰς διάφορα γυναικεῖα ἐργόχειρα, ἐνθυμούμεναι, ὅτι ἡ Σχολὴ ἡ Ἐκκλησιαστικὴ οὐδεποσῶς ἀποξενοῦται τῶν προσθέτων γνώσεων καὶ προθύμως συγκαταριθμεῖ ταῖς ἀσχολίαις πᾶσαν ἐργασίαν, ἐπωφελῆ ταῖς παισίν. Ἐν ὅροις εὐμενέσι καλεῖσθε ὑμεῖς εἰς τὸ διδασκαλικὸν ἐπάγγελμα. Ἡ ἐπαρχία τῆς Ριαζάνης διὰ τῶν πεφωτισμένων μεριμνῶν τοῦ Πανιερωτάτου Ἰουστίνου καὶ διὰ τῶν ἀκαμάτων μόχθων τοῦ πατρὸς διευθυντοῦ Σμυρνὼφ καὶ τῶν βοηθῶν αὐτοῦ ἐκαλύφθη τῷ δικτύῳ τῶν Ἐκκλησιαστικῶν Σχολῶν καὶ τῶν Σχολῶν τῶν γραμμάτων. Εὐλογημένη γῆ προητοίμασται ὑμῖν. Μετὰ πίστεως εἰς τὴν πρόοδον τοῦ ἁγίου ἔργου, μετ' ἐλπίδος εἰς τὴν βοήθειαν τοῦ Θεοῦ καὶ πλούσιαι τῇ ἀγάπῃ πρὸς τὰς παῖδας σπείρετε τὸν καλὸν σπόρον τῆς χριστιανικῆς διδασκαλίας. Πολλαῖς ἐξ ὑμῶν προώρισται εἶναι γυναῖκας ἱερέων, καὶ ἔστι φρονεῖν, ὅτι καὶ διά τὸν ἐν τῷ οἴκῳ βίον ὑμῶν ἡ ἐν τῇ Σχολῇ διαμονὴ γενήσεται οὐκ ἀνωφελής. Αἱ καλαὶ Χριστιανικαὶ ἕξεις, αἱ ἐνταῦθα προσκεκτημέναι ὑφ' ὑμῶν ἔσονται τίμιον κτῆμα τοῦ οἴκου ὑμῶν. Ἡ Σχολὴ πορίσει ὑμῖν προσφιλῆ προῖκα· αὐτὴ χορηγήσει ὑμῖν καλὴν χριστιανικὴν διάθεσιν τοῦ πνεύματος καὶ ἀγάπην πρὸς ἐργασίαν. Τὸν οἶκον ὑμῶν δεῖ εἶναι πρότυπον τοῖς παροίκοις· ὑμεῖς ὡς ἀληθεῖς Χριστιαναὶ εἰσάξετε εἰς αὐτὸν τὴν εἰρήνην καὶ τὴν ἀγάπην. Ἐπὶ ταύτην τὴν ἑστίαν τῆς Χριστιανικῆς εὐτυχίας μέλλει ἀφθόνως ἐκχεῖσθαι ἡ εὐλογία τοῦ Θεοῦ· πρὸς τὴν εὐπροσήγορον σύζυγον τοῦ ἱερέως προσελεύσονται διὰ συμβουλὴν καὶ παραμυθίαν· τῇ ἑαυτῆς συμπαθείᾳ τῇ ἀνθρωπίνῃ συμφορᾷ καὶ ἀνάγκῃ, αὐτὴ ἐνδείξεται τὴν ἐφετὴν βοήθειαν τῷ συζύγῳ. Πολλαῖς ἐξ ὑμῶν ἔν τινι βαθμῷ ἐφαρμοζέσθω ἓν ἀρχαῖον ἀπόφθεγμα: «domi mansit, lanam fecit» = «οἴκοι μένει, ἔρια ἐργάζεται». Ἡ καλὴ καὶ οἰκονόμος δέσποινα ἀνακουφίσει τὰς φροντῖδας τοῦ ἀνδρὸς περὶ τοῦ ἄρτου τοῦ ἐπιουσίου. Ὁ οἶκος αὐτῆς, ἄνευ ἐπιβαρύνσεως τῶν παροίκων ἔσται ποτήριον πλῆρες. Ἐν ὥραις σχολῆς ἡ καλὴ γυνὴ βοηθήσει τῷ συζύγῳ καὶ ἐν τῇ Σχολῇ· εἰ δὲ αὐτὴ ἐπαρκῶς πεῖραν ἔχει τῆς ὑμνῳδίας, τότε καὶ νέους ψάλτας προετοιμάσει διὰ τὸν χορόν. Τὰ ἑαυτῆς δὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τέκνα δυνήσεται παιδαγωγῆσαι καὶ διδάξαι. Ἐν τοιούτῳ ἐπιμόχθῳ βίῳ οὐ σχολὴ ἔσται αὐτῇ ἀνιᾶσθαι· ἐργαζομένη διὰ τὸν οἶκον καὶ τοὺς πλησίον δύναται εὑρεῖν καὶ ἐν τῇ μετρίᾳ τῆς κώμης κατασκευῇ πηγὴν καθαρᾶς καὶ φωτεινῆς χαρᾶς, οὐχὶ πάντοτε ἐπαρκῶς γνωστῆς τοῖς ἐν μεγάλαις καὶ θορυβώδεσι πόλεσι βιοῦσιν.

Κύριος βοηθῆσαι ὑμῖν ἐν τῇ ὁδῷ τοῦ βίου ὑμῶν καὶ ποιῆσαι ὑμᾶς ἐπωφελεῖς τῇ ἁγίᾳ Ἐκκλησίᾳ, τῇ φίλῃ πατρίδι καὶ τοῖς οἴκοις ὑμῶν. (См. Прибавл. Церк. Вѣдом. за 1897 № 11. Стран. 411—412).

## X.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐνάρξει τῶν ἐν τῇ Ἐκκλησιαστικῇ Ἀκαδημίᾳ τῆς Πετρουπόλεως παιδαγωγικῶν μαθημάτων διὰ τοὺς καὶ τὰς διδασκάλους τῶν ἐκ δύο τάξεων Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν, τὴν 26 Ἰουνίου 1897 ἔτους.

Ἡ μέριμνα τῆς Ἁγιωτάτης Συνόδου περὶ τῆς δεούσης προπαρασκευῆς τῶν διδασκάλων διὰ τὰς Σχολὰς τῶν Ἐκκλησιαστικῶν παροικιῶν καὶ διὰ τὰς Σχολὰς τῶν γραμμάτων ἐκδηλοῦται, πρὸς τοῖς ἄλλοις, τῇ ἐνάρξει ἐν Πετρουπόλει, Μόσχᾳ, Κούρσκῃ, Χαρκόβῳ, Κιέβῳ, Ὀδησσῷ, Καζάνῃ καὶ Πέρμῃ σειρᾶς μαθημάτων διὰ τοὺς διδασκάλους τῶν ἐκ δύο τάξεων Σχολῶν καὶ τῇ συστάσει τριάκοντα μαθημάτων διὰ τοὺς διδασκάλους τῶν ἐκ μιᾶς τάξεως Σχολῶν. Γεγονὸς μέχρι τοῦ νῦν ἀνύπαρκτον ἐν τῇ ἱστορίᾳ τῆς προκαταρκτικῆς Σχολῆς τῆς Ῥωσσίας. Πολλαὶ ἑκατοντάδες διδασκάλων συγκαλοῦνται πρὸς καιρὸν ἀπὸ ἑνὸς μέχρι δύο μηνῶν ἐπὶ τούτῳ, ὅπως προσκτήσωνται νέας ἐπωφελεῖς αὐτοῖς γνώσεις, εὐρύνωσι τὸν κύκλον τῶν ἀναγκαίων αὐτοῖς θεωρητικῶν καὶ πρακτικῶν γνώσεων, πεῖραν λάβωσι τῶν κρεισσόνων μεθόδων τῆς διδασκαλίας καὶ ἐν κοινῇ ἐργασίᾳ ἀρυσθῶσι νέας δυνάμεις πρὸς τὴν διδασκαλικὴν δρᾶσιν.

Ἐν τῇ σειρᾷ τούτων τῶν παιδαγωγικῶν μαθημάτων ἰδίαν ἀξίαν κέκτηνται τὰ μαθήματα διὰ τοὺς καὶ τὰς διδασκάλους τῶν ἐκ δύο Τάξεων Σχολῶν. Αἱ Σχολαὶ αὗται, ὡς γινώσκετε, ἔχουσι προορισμὸν προπαρασκευάζειν τοὺς καὶ τὰς διδασκάλους διὰ τὰς Σχολὰς τῶν γραμμάτων. Ἡ ἀνάγκη αὐτῶν ἐστὶ μεγάλη καὶ κοινή. Πολλαὶ χιλιάδες χωρίων καὶ κωμῶν τῆς ἀπεράντου πατρίδος ἡμῶν μέχρι τοῦδε οὐκ ἔχουσι Σχολάς. Πόθεν ληπτέον τοσαύτας χιλιάδας διδασκάλων, προπαρεσκευασμένων εἰς τὸ ἐπάγγελμα τοῦ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

διδασκάλου καὶ προθύμων ἀντὶ μηδαμινοῦ μισθοῦ ἀφιερῶσαι ἑαυτοὺς τῇ φωτιστικῇ δράσει ἐν ἐκείνοις τοῖς ἀσήμοις, ὀλίγον γνωστοῖς τινι χωρίοις. Οἱ νῦν διδάσκαλοι τῶν Σχολῶν τῶν γραμμάτων ἄγαν ἀνίκανοι. Τυχαίως ἐκλεγέντες, κακῶς ἢ ὅλως μὴ προπαρεσκευασμένοι εἰς τὴν διδασκαλίαν, οὗτοι οἱ διδάσκαλοι πλειστάκις οὐ δύνανται ἐπιτυχῶς διδάσκειν. Τὸ μὴ εὐχάριστον τοῦ τοιούτου καθεστῶτος ἀεὶ εὖ ἐγίνωσκε τὸ Συμβούλιον τῶν Σχολῶν· ἀλλὰ μέχρι τοῦ τελευταίου χρόνου οὐκ εἶχε τοὺς πόρους πρὸς ἄρσιν ταύτης τῆς σπάνεως τῶν διδασκάλων. Νῦν δὲ διὰ τῆς πατρικῆς μερίμνης τοῦ Στεφηφόρου Ἄρχοντος τῆς Ῥωσσικῆς γῆς ἐκλήθησαν εἰς γένεσιν Σχολαὶ ἐκ δύο Τάξεων, ταῦτα τὰ μέλλοντα φυτώρια τῶν διδασκάλων διὰ τὰς Σχολὰς τῶν γραμμάτων. Διδάσκειν ἐπιτυχέστατα ἐν ταύτῃ τῇ Σχολῇ δύναται ὁ διδάσκαλος, ὁ ἱκανὸς ἀρκεῖσθαι ὀλίγῳ μισθῷ, ὁ διδάσκαλος ὁ μὴ γευθεὶς τῆς φαινομένης χαρᾶς τοῦ βίου ἐν πόλει, ὁ διδάσκαλος ὁ μὴ ἀποσπασθεὶς ἀπὸ τῆς γενετείρας αὐτοῦ γῆς. Εἰς ταύτας τὰς Σχολὰς εἰσακτέοι οἱ κρείσσους μαθηταὶ τῶν Ἐκκλησιαστικῶν Σχολῶν τῆς γείτονος χώρας, οἱ ἀποπερατώσαντες τὴν σειρὰν τῶν μαθημάτων· εἰ δὲ εἰσὶ κεναὶ θέσεις καὶ οἱ ἀποπερατώσαντες τὴν σειρὰν τῶν μαθημάτων ἐν ταῖς προκαταρκτικαῖς Σχολαῖς τῶν ἄλλων διοικήσεων. Οὗτοι οἱ νεανίαι, διανύοντες ἐν τρισὶν ἔτεσι τὴν σειρὰν τῶν μαθημάτων τῆς ἐκ δύο Τάξεων Σχολῆς, οὐκ ἀποσπασθήσονται ἀπὸ τῆς γενετείρας, τὸ θέρος ἐπιστρέψουσιν εἰς τοὺς οἴκους τῶν γονέων, εἰς ἐκείνους τοὺς οἴκους, ἐν οἷς ἴσως οἱ πλείους αὐτῶν μέλλουσι ζῆν καὶ ἐφεξῆς, τὸν χειμῶνα διδάσκοντες τοὺς παῖδας, τὸ δὲ θέρος σὺν τῷ οἴκῳ ἐργαζόμενοι ἐν τῷ ἀγρῷ. Διὰ τὰς ἀνάγκας τῶν Σχολῶν τῆς ἀχανοῦς γεωργικῆς Ῥωσσίας τοιοῦτος τύπος διδασκάλου γεωργοῦ παρίστησι πολλὰ κέρδη. Ἔστιν ἐλπὶς τυχεῖν διδασκάλων ἐπαρκῶς προπαρεσκευασμένων εἰς τὸ διδασκαλικὸν ἐπάγγελμα, δυναμένων κατὰ τοὺς ὅρους τοῦ βίου αὐτῶν ἀρκεῖσθαι μετρίῳ μισθῷ, οὐκ ἀοίκων, και διὰ τοῦτο καὶ μᾶλλον ἐξησφαλισμένων. Καὶ ἰδοὺ πρὸς παρασκευὴν τῶν διδασκάλων τούτων τῶν ἁπλουστάτων προκαταρκτικῶν Σχολῶν ὑμεῖς διωρίσθητε διδάσκαλοι τῶν ἐκ δύο Τάξεων Σχολῶν, καὶ νῦν συνήχθητε εἰς τὴν σειρὰν μαθημάτων ἐν Πετρουπόλει, ἵνα προσκτήσησθε ἐπωφελεῖς τινας ὑμῖν γνώσεις ὡς πρὸς τὰ τῆς παιδαγωγικῆς δράσεως ὑμῶν. Πάντας ὑμᾶς ἀναμφιλέκτως ἀπασχολεῖ τὸ ζήτημα: οἷος ὀφείλει εἶναι ὁ διδάσκαλος ἐν τῇ προκαταρκτικῇ Σχολῇ. Ἡ γνῶσις τοῦ προορισμοῦ αὐτοῦ φωτίσει καὶ κατευθυνεῖ τὰς ἐργασίας ὑμῶν ἐν τοῖς παιδαγωγικοῖς μαθήμασι καὶ ἐν τῇ Σχολῇ. Ἡ ἀρχή, ἡ τεθεῖσα ὡς βάσις τῶν Ἐκκλησιαστικῶν Σχολῶν, ἐμπεριέχεται ἐν τούτῳ, ὅτι αὗται αἱ Σχολαὶ ἐκλήθησαν οὐ μόνον διδάσκειν τοὺς παῖδας, ἀνακοινούμεναι αὐτοῖς προκαταρκτικὰς γνώσεις, ἀλλὰ καὶ παιδαγωγεῖν αὐτοὺς ἐν τῷ πνεύματι τῆς ἁγίας Ἐκκλησίας· ὅτι οἱ παῖδες ἄρα ὀφείλουσιν ἐν τῇ Ἐκκλησιαστικῇ Σχολῇ μανθάνειν τὰ τῆς προκαταρκτικῆς μορφώσεως καὶ στηρίζεσθαι ἐν τῇ καλῇ χριστιανικῇ διαθέσει τοῦ πνεύματος. Καὶ διὰ τοῦτο ἡ φροντὶς τοῦ διδασκάλου διευθυντέα εἰς τὴν μόρφωσίν τε τοῦ νοὸς καὶ εἰς τὴν διάπλασιν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς καρδίας καὶ εἰς τὴν ἐνίσχυσιν τῆς θελήσεως τοῦ παιδός. Οὐ δεῖ διαμελίζειν τὸν παῖδα καὶ ἔχειν δύναμιν μόνον πρὸς ἓν μέρος τῆς ὑπάρξεως αὐτοῦ, ἀλλ' ἐνεργεῖν ἐπ' αὐτὸν ἐν παντὶ τῷ πληρώματι τῶν διανοητικῶν, πνευματικῶν καὶ φυσικῶν δυνάμεων αὐτοῦ—τοιαύτην δεῖ εἶναι τὴν σχέσιν τῆς Σχολῆς πρὸς αὐτόν. Παρασκευάζοντες τοὺς μέλλοντας διδασκάλους, ὑμεῖς βεβαίως ἐμπείρους καταστήσετε αὐτοὺς τῶν κρεισσόνων μεθόδων τῆς διδασκαλίας τῶν γραμμάτων· διδάξετε τὴν ἀρίθμησιν, διατρίψετε περὶ ὅλα τὰ ὑποδεδειγμένα ὑπὸ τοῦ προγράμματος· παρέξετε τῷ νῷ αὐτῶν ἐκεῖνο τὸ κεφάλαιον τῶν γνώσεων, ὅπερ ἀναγκαιοῖ τῷ διδασκάλῳ τῆς Σχολῆς τῶν γραμμάτων. Ἀλλ' οὐκ ἐπιτεύξεσθε τοῦ σκοποῦ ὑμῶν, εἰ οἱ μαθηταὶ ὑμῶν γνώσονται λύειν ἀριθμητικὰ μόνον προβλήματα καὶ γράφειν ἄνευ γραμματικῶν ἁμαρτημάτων. Πρὸς τὴν πρόοδον τῆς Σχολῆς τοῦτό ἐστιν ὀλίγον,— ἀνάγκη ὅπως ὑμεῖς ἀχωρίστως μετὰ τοῦ ἱερέως καὶ ὑπὸ τὴν χειραγωγίαν αὐτοῦ δυνηθῆτε ἔχειν δύναμιν καὶ πρὸς τὴν (ἀνάπτυξιν) διάπλασιν τῆς καρδίας τῶν μαθητῶν ὑμῶν. Πρώτιστα ποιεῖσθε σπουδὴν περὶ τοῦτο, ὅπως αὐτοὶ ὦσιν εἰλικρινῶς καὶ ἀνυποκρίτως πιστεύοντες, ὅπως αὐτοὶ ὦσι καλοὶ χριστιανοὶ ὀρθόδοξοι.

Διατίθετε θερμαίνειν τὰς καρδίας τῶν παίδων, οὓς αὐτοὶ μέλλουσι διδάσκειν, τῇ ἀγάπῃ πρὸς τὸν Χριστὸν, τὸν ἐντειλάμενον τοῖς Ἀποστόλοις ἑαυτοῦ μὴ κωλύειν τὰ παιδία ἐλθεῖν πρὸς Αὐτόν. Καὶ ὑμεῖς ἄγετε τὰ παιδία πρὸς τὸν Γλυκύτατον Ἰησοῦν, τὴν πηγὴν παντὸς ἀγαθοῦ καὶ ἐλέους. Ἀποκαλύπτετε τοῖς μαθηταῖς ὑμῶν τὴν ἀξίαν τῆς Ὀρθοδόξου Ἐκκλησίας, τῆς ἀναλλοιώτως φυλαξάσης τὴν Εὐαγγελικὴν διδασκαλίαν ἐν ἀνεπάφῳ καθαρότητι, τῆς φιλοστόργως παρεχούσης πᾶσιν ἀδιακρίτως τοὺς τῆς χάριτος τρόπους πρὸς σωτηρίαν, τῆς κρείσσονος διδασκάλου ἡμῶν ἐπὶ τῆς γῆς, τῆς ἑτοιμαζούσης ἡμᾶς εἰς τὴν ἀθανασίαν καὶ τὴν δόξαν ἐν οὐρανῷ. Ψάλλετε σὺν τοῖς μαθηταῖς ὑμῶν τῷ Κυρίῳ, ἀναπτύσσετε ἐν αὐτοῖς ἀγάπην πρὸς τὴν Ἐκκλησιαστικὴν ὑμνῳδίαν. Τὸ μεγαλοπρεπὲς ταύτης τῆς ὑμνῳδίας, τὸ οἰκοδομητικὸν περιεχόμενον τῶν εὐχῶν ἀνυψοῦσι τὸν νοῦν καὶ πλάττουσι τὸ αἴσθημα τοῦ ὡραίου ἐν τοῖς ψάλλουσιν. Ἡ γνῶσις τοῦ ἀναγινώσκειν καὶ ψάλλειν ἐν τῇ Ἐκκλησίᾳ ἐπωφελὴς καὶ διὰ τοῦτο, ὅτι προφυλάττει τὰ παιδία ἀπὸ τοῦ κινδύνου τῆς λήθης τῶν κακῶς μεμαθημένων γραμμάτων. Τὰ καλὰ αἰσθήματα τῶν μαθητῶν ὑμῶν τρέφετε ταῖς ἀναγνώσεσι ἐκ τῆς ἱστορίας τῆς Ἐκκλησίας καὶ τῆς ἱστορίας τῆς πατρίδος ἡμῶν· δείξατε αὐτοῖς τὸν χορὸν τῶν μαρτύρων, τῶν ἐπισφραγισάντων τὴν εἰς Χριστὸν πίστιν τῷ ἑαυτῶν θανάτῳ καὶ παρασχόντων τῷ κόσμῳ οἰκοδομητικὰ παραδείγματα ἀγάπης πρὸς Ἐκεῖνον, Ὃς τῷ πάθει Αὐτοῦ καὶ τῷ σταυρικῷ θανάτῳ ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τοῦ θανάτου καὶ τῆς φθορᾶς. Ἐμπείρους ποιήσατε τοὺς νεανίας τῆς ἱστορίας τῶν χριστιανῶν ἀσκητῶν, ἀποκαλύψατε τὸ κάλλος εἰς πᾶν καλὸν τῆς ὠφελίμου εὐσεβείας, οἰκείους καταστήσατε αὐτοὺς τοῖς διδασκάλοις τῆς Ἐκκλησίας, τοῖς τῇ ἄκρᾳ σοφίᾳ ἀποκαλύψασι τὸν νοῦν καὶ τὴν σημασίαν τῶν θεμελιωδῶν ἀληθειῶν τῆς χριστιανικῆς διδασκαλίας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰσαγάγετε αὐτοὺς εἰς τὰς συναγωγὰς τῶν ἡγεμόνων μαρτύρων καὶ τῶν ἱεραρχῶν τῆς Ἐκκλησίας τῆς Ῥωσσίας, τῶν δοξασθέντων τοῖς ἄθλοις αὐτῶν καὶ μόχθοις. Γνωρίσατε αὐτοῖς τὰ ἔργα τῶν μεγάλων συνακτήρων τῆς ῥωσσικῆς γῆς, τὰς φροντίδας τῶν Αὐτοκρατόρων Μοναρχῶν περὶ τῆς δόξης καὶ τοῦ κράτους τοῦ Ῥωσσικοῦ κράτους. Παιδαγωγεῖτε ἐν ἀφοσιώσει τῷ Βασιλεῖ, τῷ τῇ Ἑαυτοῦ ἐξουσίᾳ συνενοῦντι εἰς ἓν μέγα ὅλον τὰς φυλὰς καὶ τοὺς λαούς, τοὺς οἰκοῦντας τὴν Ῥωσσίαν. Ἐθίζετε αὐτοὺς σέβεσθαι τὴν μνήμην τῶν ἀνδρῶν, τῶν ἀνιδιοτελῶς διακονησάντων τῷ ἀγαθῷ τῆς πατρίδος, ὡς καὶ τῶν θέντων τὴν ζωὴν αὐτῶν ὑπὲρ αὐτῆς. Ἀποκαλύπτετε πρὸ τῶν μαθητῶν ὑμῶν, τὸ μεγαλεῖον τῶν ἱστορικῶν αὐτῆς τυχῶν. Ἀνατρέφοντες τοιαύταις διδασκαλίαις τὰς καρδίας τῶν μαθητῶν ὑμῶν, ποιεῖσθε ἰδίαν σπουδὴν καὶ περὶ τοῦτο, ὅπως δυνηθῆτε παιδαγωγῆσαι τὴν βούλησιν αὐτῶν. Ἐπὶ τῷ χειραγωγεῖν ἄλλους ἀνάγκη ἐπίστασθαι ἄγειν αὐτούς. Ἐνεργεῖν δὲ ἐπὶ τὴν βούλησιν τῶν ἄλλων δύναται μόνον ἐκεῖνος, ὃς αὐτὸς κέκτηται εὐπειθῆ βούλησιν. Πρὸς ἀνατροφὴν χαρακτῆρος ἀπολύτως ἀναγκαιοῖ τὸ ἐπίστασθαι ὑποτάξαι τὴν βούλησιν ἀναγκαστικοῖς τισι δι' αὐτὴν κανόσι. Καὶ τοῖς μέλλουσι διδασκάλοις οὐκ ἔστι μὴ εὔχεσθαι πρώτιστα ἐθισθῆναι εἰς τὸ αἴσθημα τοῦ καθήκοντος. Ἐπὶ τοῦτο τὸ μέρος τῆς δράσεως ὑμῶν στρέψατε ἰδίαν προσοχήν. Ἓν ἐκ τῶν ἐλαττωμάτων τοῦ ῥωσσικοῦ λαοῦ ἐμπεριέχεται καὶ ἐν τούτῳ, ὅτι πρὸς τῇ σπανίᾳ πρᾳότητι, καὶ ἁπλότητι, καὶ ἱκανότητι εἰς τοὺς ἀγῶνας τῆς αὐταπαρνήσεως, οἱ ἄνθρωποι παρ' ἡμῖν πλειστάκις ὀλίγον ἐμφοροῦνται τῆς συνειδήσεως τοῦ καθήκοντος ἀεὶ καὶ διὰ παντὸς ἐκπληροῦν τὸ καθῆκον. Δεῖ τὴν Σχολήν, παιδαγωγοῦσαν τοὺς ἀνθρώπους, στηρίζειν αὐτοὺς ἐν ταῖς καλαῖς ἕξεσιν, ἐθίζειν αὐτοὺς εἰς τὴν εὐσυνειδησίαν καὶ τὴν ἐπιμέλειαν ἐν παντί, καὶ δὴ ἐν τοῖς ἐλαχίστοις καὶ δευτέροις ἔργοις. Πλάσσετε οὖν ἐν τοῖς μαθηταῖς ὑμῶν τὸ αἴσθημα τοῦ καθήκοντος, ἀντέχετε, ὅπως αὐτοὶ πράττωσι καλῶς πᾶν, ᾧτινι ἐπιχειροῦσι.

Διὰ μνήμης ἔχετε, ὅτι ὁ διδάσκαλος ὀφείλει σπουδαίαν προσοχὴν στρέψαι καὶ ἐπὶ τὰ ἔξω τῶν παιδίων· αὐτῷ προσήκει ἀεὶ ἐπιτηρεῖν ἐπὶ τῆς καθαριότητος τῶν χειρῶν αὐτῶν, καὶ καθ' ὅλου ἐπὶ τῆς κοσμιότητος αὐτῶν. Καὶ τὰ πτωχὰ παιδία ἔστιν ὑμῖν νίπτειν καὶ κτενίζειν. Δεῖ δὲ τὴν σφραγῖδα τῆς τάξεως, τούτου τοῦ ἀναγκαίου ὅρου πάσης καλῆς Σχολῆς, κεῖσθαι ἐν πᾶσι τοῖς τῆς Σχολῆς. Ὁ καλὸς διδάσκαλος τῷ οἰκείῳ ἑαυτοῦ παραδείγματι ὀφείλει διδάξαι τὰ παιδία τὸ εὐπροσήγορον ἐν ταῖς μετὰ τῶν ἀνθρώπων συναναστροφαῖς, τὴν διὰ παντὸς προθυμίαν ἀντιλαμβάνεσθαι τῶν πλησίον, τὸν σεβασμὸν πρὸς τοὺς πρεσβυτέρους, τὴν ἀγάπην πρὸς πάντας τοὺς περὶ ἑαυτόν. Αἱ ὕβρεις καὶ αἱ ἀγροῖκοι ἐκφράσεις οὐκ ἀνεκτέαι ἐν τῇ χριστιανικῇ Σχολῇ. Ἡ χριστιανικὴ εὐαγωγία ἔστω τὸ κρεῖσσον κόσμημα τῶν παιδίων τῶν Ἐκκλησιαστικῶν Σχολῶν. Τῷ καλῷ διδασκάλῳ προσήκει ἀδιαλείπτως μεριμνᾶν περὶ τῆς ἠθικῆς διαπλάσεως τῶν ἑαυτοῦ μαθητῶν, πειρᾶσθαι ἐξευγενίζειν αὐτούς, ὑπερνικῆσαι τὰς κακὰς κλίσεις καὶ στηρίξαι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν ταῖς καλαῖς χριστιανικαῖς ἕξεσιν. Ἐμπνέετε τοῖς μαθηταῖς ὑμῶν, ὅτι δύναται διδάσκειν τὸ καλὸν μόνον ἐκεῖνος, ὃς αὐτὸς ποιεῖ τὸ καλόν· ὅτι τὸν βίον τοῦ διδασκάλου δεῖ εἶναι ἀδιάλειπτον ἔκφανσιν ἐκείνων τῶν ἀρχῶν, ἃς αὐτὸς διδάσκει. Οὐαὶ ἐκείνῳ, εἰ αὐτὸς ἄλλο διδάσκει καὶ ἄλλο ποιεῖ, καὶ ἐν τῷ ἔργῳ αὐτοῦ ὀφείλει μεμνῆσθαι τῆς ἐντολῆς τοῦ Σωτῆρος, τοῦ αὐστηρῶς κατακρίνοντος τοὺς σκανδαλίζοντας τοὺς μικρούς, τοὺς οὕτω προσφιλεῖς τῇ καρδίᾳ τοῦ Θείου Λυτρωτοῦ. Γινώσκετε, ὅτι κατὰ τὰ ἔργα ὑμῶν κρινοῦσι καὶ περὶ τῶν μαθητῶν ὑμῶν, καὶ διὰ τοῦτο παντὶ μέτρῳ ἀποφεύγετε πᾶν τὸ δυνάμενον κωλύειν τὴν πρόοδον τῆς φωτιστικῆς ὑμῶν δράσεως. Περιορίζετε ἑαυτοὺς καὶ δὴ ἐν ταῖς τοιαύταις ἐνεργείαις, αἵτινες ἐν ἄλλῃ οὐχὶ διδασκαλικῇ κατασκευῇ ἠδύναντο ἂν μὴ φανῆναι ἐπονείδιστοι. Ζῆτε συνῳδὰ ταῖς διατάξεσι τῆς ἁγίας Ἐκκλησίας, μὴ παραβαίνετε τὰς νηστείας, πειρᾶσθε μὴ καπνίζειν. Συνειδότες τὴν σημασίαν τοῦ μεγάλου ἔργου, ᾧπερ διακονεῖτε, ἀποφεύγετε πᾶν, ὅ,τι βλάψειεν ἂν τὴν πρόοδον τοῦ ἁγίου ἔργου.

Ἐν ταῖς ἐκ δύο Τάξεων Σχολαῖς, ἰδίως ἐν ἀρχῇ ὑμεῖς μέλλετε διδάσκειν οὐ μέγαν ἀριθμὸν μαθητῶν. Τὸ πρᾶγμα τοῦτο λίαν εὐχάριστον. Ἔχοντες ἐν τῇ Τάξει περὶ τοὺς 20 ἀνθρώπους, ὑμεῖς δυνήσεσθε ἐγγὺς μανθάνειν τὰς ἰδιότητας ἑκάστου καὶ συμμορφούμενοι αὐταῖς ὠφελεῖν τὴν διάπλασιν αὐτοῦ. Ἐν παντὶ φαύλῳ ἐπέχετε αὐτόν, ὀξέως παρακολουθεῖτε, ὅπως τὰ κακὰ αἰσθήματα μὴ μεταποιῶνται εἰς κακὴν διάθεσιν τοῦ πνεύματος· τοῖς δὲ καλοῖς αἰσθήμασι δίδοτε τόπον. Ἀκριβῶς ἐξετάζετε τὰ χαρίσματα καὶ τὰς ἱκανότητας τῶν μαθητῶν ὑμῶν. Πειρᾶσθε κατανοῆσαι τὰ ἐξέχοντα ἐν αὐτοῖς δωρήματα τῆς φύσεως. Ζητεῖτε τοὺς τὰ μάλιστα εὐφυεῖς ἐν τοῖς μαθηταῖς ὑμῶν, καὶ μὴ ἐπιλανθάνεσθε ἀνακοινοῦσθαι περὶ αὐτῶν τοῖς δυναμένοις συντελεῖν τῇ περαιτέρω αὐτῶν ἀναπτύξει.

Θρησκευτικῶς διατεθειμένοι τὸ πνεῦμα, πεπαιδαγωγημένοι ἐν τῷ πνεύματι τῆς Ὀρθοδόξου Ἐκκλησίας, ὅλως ἀφωσιωμένοι τῷ Βασιλεῖ, ὁλοψύχως ἀγαπῶντες τὴν πατρίδα, ἐπιμελῖες ἐν τῇ ἐργασίᾳ, κόσμιοι τὴν διαγωγήν, ἀφωσιωμένοι τῇ κλήσει αὐτῶν, ἀγαπῶντες τὰ παιδία, οἱ διδάσκαλοι τῶν Σχολῶν τῶν γραμμάτων εἰσκομίσουσιν εἰς τὴν πάτριον αὐτῶν κοινωνίαν ἐκεῖνο τὸ φῶς τῆς διδασκαλίας, ὅπερ οὕτως ἀναγκαῖον τῷ λαῷ ἡμῶν. Ἡ εὐεργετικὴ παιδαγωγικὴ δύναμις τῆς Σχολῆς πρὸς τοὺς ἐνοικοῦντας διαδοτέα διὰ τῶν ἐκ δύο Τάξεων Σχολῶν εὐρέως καθ' ὅλους τοὺς τόπους, ὅπου μέλλουσι διδάσκειν οἱ μαθηταὶ τούτων τῶν Σχολῶν. Συμμόρφως τοῖς διαφόροις ἐπιτοπίοις ὅροις δεῖ παρὰ ταῖς ἐκ δύο Τάξεων Σχολαῖς συνιστάναι λαχανείας, κήπους καρποφόρους, μελισσουργεῖα, καὶ ὡς δυνατὸν καὶ διὰ πείραμα ἀγροὺς Σχολῆς. Ἡ ἐφαρμογὴ τῶν βεβελτιωμένων συστημάτων τῆς γεωργίας τῆς γῆς δύναται αὐξῆσαι τοὺς πόρους τῆς συντηρήσεως τῆς Σχολῆς καὶ γενέσθαι πρότυπον τοῖς γείτοσιν ἀγρόταις. Ἡ ἐργασία ἐν κήπῳ, λαχανείᾳ, ἢ ἀγρῷ κρείσσονα πάσης γυμναστικῆς δύναμιν ἕξει πρὸς τὴν ὑγείαν τῶν μαθητῶν καὶ ἐνισχύσει τὰς φυσικὰς αὐτῶν δυνάμεις, ὧν περὶ τῆς ἀναπτύξεως φροντιστέον τῇ ἀρχῇ τῆς Σχολῆς. Ἀδύνατου ὄντος ἐργασίας



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

παρασκευάζειν τοῦ κήπου ἢ τοῦ ἀγροῦ, ἢ διακοπεισῶν αὐτῶν δεῖ σπουδάσαι εἰσαγαγεῖν ἐν ταῖς Σχολαῖς τὴν μάθησιν τῆς τεκτονικῆς, τῆς ξυλουργικῆς, τῆς ὑποδηματοῤῥάφου ἢ βιβλιοῤῥάφου τέχνης· ἐν ταῖς Σχολαῖς δὲ τῶν θηλέων διάφορα γυναικεῖα ἐργόχειρα. Ταῖς ἐκ δύο Τάξεων Σχολαῖς, μὴ προσλαμβανούσαις ἀξίαν ἐπαγγελματικῶν Σχολῶν, προσήκει ὡς δυνατὸν ἀναπτύσσειν ἐν τοῖς μαθηταῖς γνῶσίν τινα ἐν τοῖς τῆς φυσικῆς ἐργασίας.

Ἴσως ἐροῦσιν ἡμῖν, ὅτι φορτία βαρέα καὶ δυσβάστακτα ἀνατίθενται ἐφ᾽ ὑμᾶς τοὺς διδασκάλους τοῦ ῥωσσικοῦ λαοῦ,—ναὶ οὐκ εὐχερὲς βεβαίως τὸ προκείμενον ὑμῖν ἔργον, ἀλλ᾽ ἡ κατὰ δύναμιν πραγμάτωσις αὐτοῦ δυνατή, ἐὰν ἀσφαλῶς προσῇ ὑμῖν ἡ πίστις εἰς τὴν πρόοδον τοῦ διδασκαλικοῦ ὑμῶν ἔργου. Ἄνευ ταύτης τῆς πίστεως τὰ τοῦ διδασκάλου δύνανται εἶναι ἀνυποίστως χαλεπά. Τὸ ἀγροῖκον τῆς κοινωνίας, ἐν ᾗ μέλλετε δρᾶν, ἡ συχνὴ μὴ κατανόησις τῶν κρεισσόνων προθέσεων ὑμῶν, ἡ βαρύτης τῶν ὧν ὑφίστασθε μόχθων, ἡ ἔλλειψις τῶν πόρων καὶ ἡ ἀφθονία παντοίων ὑστερήσεων δύνανται πνῖξαι ἐν ὑμῖν πᾶσαν ἱκανότητα εἰς τὴν ἐργασίαν, ἐὰν μὴ ἐνισχύῃ ὑμᾶς ἡ πίστις εἰς τὴν πρόοδον τοῦ ἔργου ὑμῶν. Ἡ ἐλπὶς τοῦ πλουτίσαι τῇ γνώσει καὶ παιδαγωγῆσαι εἰς δόξαν Θεοῦ τὰ παιδία ἔσται ἡ παρηγορία ὑμῶν ἐν ταῖς χαλεπαῖς στιγμαῖς τοῦ ἐργατικοῦ βίου ὑμῶν. Ἡ δὲ ἀγάπη πρὸς τοὺς παῖδας ἔσται ἡ πηγὴ τῆς φωτεινῆς καὶ καθαρᾶς χαρᾶς. Ὁ διδάσκαλος, ὁ πιστεύων εἰς τὴν ἑαυτοῦ κλῆσιν, γνώσεται τὴν ἀξίαν τῆς φωτιστικῆς δράσεως αὐτοῦ. Ὁ μόχθος αὐτοῦ, ὡς ἔοικεν, ὀλίγον ὁρατός. Ἀπὸ ἡμέρας εἰς ἡμέραν ἐπαναλαμβάνεται τὸ μονοειδές, τὸ τῷ ξένῳ ὀφθαλμῷ κοπιῶδες. Ἀλλ᾽ ἡ σταγὼν τοῦ ὕδατος, ἡ ἀδιαλείπτως πίπτουσα ἐπὶ τῆς πέτρας, ἀφίησιν ἐπ᾽ αὐτῆς ψηλαφητὸν ἴχνος, οὕτω καὶ οὗτος ὁ ἀδιάλειπτος καθ᾽ ἁπάσας τὰς ἡμέρας μόχθος τοῦ διδασκάλου καταλείπεται οὐκ ἄνευ σπουδαίων ἀποτελεσμάτων. Ὁ διδάσκαλος διὰ τῆς Σχολῆς δύναται εἰσαγαγεῖν εἰς τὸν βίον τοῦ λαοῦ ὀρθὰς ἐννοίας καὶ θεωρίαν περὶ τῶν κοινωνικῶν καὶ πολιτικῶν σχέσεων. Τὸ μέλλον τῆς χώρας ἐν μείζονι βαθμῷ ἐξαρτᾶται ἀπ᾽ ἐκείνων, οἷς ἡ Σχολὴ ἐμπεπίστευται. Καὶ διὰ τὴν Ῥωσσίαν τὴν ὀρθόδοξον καὶ αὐτοκρατορικὴν—ἡ Ἐκκλησία, αὕτη ἡ ἀρίστη φύλαξ τῶν εὐαγγελικῶν καὶ πατρῴων παραδόσεων, παρίσταται καὶ ὡς τὸ ἀσφαλέστατον ἔρυμα, τὸ ἐπέχον τὸν ὀλέθριον ῥοῦν κατὰ τῶν ἱστορικῶν ἀντηρίδων τῆς Ῥωσσικῆς γῆς. Στεῤῥῶς πεποίθαμεν, ὅτι ἡ ἀνάπτυξις τῆς ἐθνικῆς ἰδέας ἐν Ῥωσσίᾳ, πρὸς τοῖς ἄλλοις μέλλει ἐκφαίνεσθαι καὶ ἐν τῇ ἀναπτύξει τῆς προκαταρκτικῆς Σχολῆς αὐτῆς, ἐν ᾗ ἡ διδασκαλία καὶ ἡ παιδαγώγησις ἀδιαῤῥήκτως συνηνωμέναι εἰσιν εἰς ἓν ἁρμονικὸν ὅλον.

Ὑψηλὸν καὶ πολυωφελὲς στάδιον προσδοκᾷ ὑμᾶς· ὑμεῖς ἐν συνειδήσει ἀφιερώσατε ἑαυτοὺς τῇ διακονίᾳ τῇ μεγάλῃ ἰδέᾳ τοῦ φωτισμοῦ τοῦ λαοῦ τῆς Ῥωσσίας· γνωστὸν ὑμῖν, ὅτι ὁ κόσμος κυβερνᾶται ὑπὸ ἰδεῶν, ὅτι ὁ θρίαμβος τῆς ἰδέας παρέχεται οὐ δωρεάν, ἀλλ᾽ ἐπιτυγχάνεται τῇ τιμῇ τῆς ἐργασίας καὶ παντοίων θυσιῶν. Ἀλλὰ ταῦτα τὰ κωλύματα οὐκ ἐπισχήσουσιν ὑμᾶς, ἡ πίστις εἰς τὴν πρόοδον τοῦ ἁγίου ἔργου, ὡσεὶ ἀκτὶς τοῦ μακρὰν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φάρου, μέλλει χειραγωγεῖν ὑμᾶς ἐν μέσῳ τῶν ποικίλων συμφορῶν καὶ ὑστερήσεων. Καὶ πῶς οὐ δεῖ ὑφίστασθαι αὐτὰς νῦν, ὅτε διὰ τῆς πατρικῆς προνοίας τοῦ προώρως μεταστάντος Βασιλέως-Εἰρηνοποιοῦ καὶ τοῦ Στεφηφόρου Υἱοῦ Αὐτοῦ, τοῦ ἀγαπητοῦ ἡμῶν Μονάρχου ἤρξατο ἀνατέλλειν ἡ λαμπρὰ ἕως τῆς φίλης Ἐκκλησιαστικῆς Σχολῆς ἡμῶν, ὅτε ταύτῃ τῇ Σχολῇ ἐπεδόθησαν ἐκ τῶν χρημάτων τοῦ ταμείου τοῦ Κράτους σπουδαῖα ποσά, ὅτε οἱ κρείσσους ἄνδρες τῆς Ῥωσσίας μετ' ἐλπίδος ἀποβλέπουσιν εἰς τὴν ἐξέγερσιν τῶν ἐθνικῶν δυνάμεων, τῶν κρυπτομένων ἐν τῷ ἐκ πολλῶν μιλιουνίων λαῷ, τῷ ἀντηχήσαντι τῇ ῥωσσικῇ διαλέκτῳ σπουδαῖον τμῆμα τῆς Εὐρώπης καὶ τῆς Ἀσίας.

Προθύμως οὖν ἐπιλαμβάνεσθε τοῦ ἔργου. Τὸ φῶς τοῦ Χριστοῦ φωτιζέτω τὸ φωτιστικὸν ὑμῶν ἔργον καὶ ἀνθείτωσαν αἱ Ἐκκλησιαστικαὶ Σχολαὶ εἰς δόξαν τοῦ Κραταιοῦ Ἄρχοντος τῆς Ῥωσσικῆς γῆς καὶ πρὸς ὄφελος τῆς φίλης πατρίδος. (См. Прибавл. къ Церков. Вѣдом. за 1897 г. № 26. Стран. 895—899).

# XI.

## ΛΟΓΟΣ

## ἐπὶ τῇ ἐπισκέψει τῶν παιδαγωγικῶν μαθημάτων ἐν Μόσχᾳ διὰ τοὺς καὶ τὰς διδασκάλους τῶν ἐκ δύο Τάξεων Σχολῶν.

Εὐτυχεῖς ὑμεῖς οἱ καὶ αἱ διδάσκαλοι τῶν ἐκ δύο Τάξεων Σχολῶν, ὅτι ἔλαχεν ὑμῖν συναχθῆναι εἰς συνεργασίαν ἐν τῇ Μόσχᾳ, τῇ προσφιλεῖ τῇ καρδίᾳ τῇ ῥωσσικῇ, τῇ φύλακι τῶν ἱστορικῶν παραδόσεων καὶ διαθηκῶν τῆς ἀρχαιότητος. Τὰ ἁγιάσματα τῶν τῆς Μόσχας ναῶν ἐνισχυσάτωσαν τὸ πνεῦμα ὑμῶν τῇ ἰσχύϊ τῆς προσευχῆς. Ἐκ τῆς Μόσχας προέβη ἡ συνένωσις τῆς ῥωσσικῆς γῆς· ἡ Μόσχα ὕψωσε τὴν ἀσθενῆ ἡγεμονίαν εἰς ἰσχυρὸν βασίλειον. Ὀρθῶς νοοῦντες τὴν ἀξίαν τῆς Μόσχας ἐν τῇ ἱστορίᾳ τῆς Ῥωσσίας, ὑμεῖς, γιγνώσκοντες τὰ μνημεῖα αὐτῆς, ἀναμφιβόλως στηριχθήσεσθε ἐν ἐκείνῃ τῇ καλῇ διαθέσει τοῦ πνεύματος, τῇ συνήθως καλουμένῃ πατριωτικῇ. Ὁ καλὸς διδάσκαλος οὐ δύναται μὴ ἀγαπᾶν τὴν πατρίδα αὐτοῦ. Ἀεὶ προσφιλεῖς ἔσονται αὐτῷ ἅπαντες οἱ τῷ βίῳ καὶ τῷ μόχθῳ αὐτῶν συντελέσαντες τῇ προόδῳ αὐτῆς· αὐτὸς γνώσεται πᾶν τὸ χρησιμεῦσαν τῇ εὐδαιμονίᾳ αὐτῆς, πᾶν τὸ ἀπεργασάμενον τὸ μεγαλεῖον αὐτῆς. Προσφιλεῖς ἔσονται αὐτῷ οἱ ναοί, οἱ χωροῦντες ἐν ἑαυτοῖς ἐπὶ πολλοὺς αἰῶνας τοὺς προγόνους, οὓς ἐκεῖσε ἐνεγκόντας τὰς θλίψεις καὶ τὴν χαρὰν αὐτῶν. Προσφιλὴς ἔσεται



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῷ ὁ ἦχος, ὁ συγκαλῶν ἐκ μακροῦ χρόνου τοὺς ὀρθοδόξους εἰς προσευχήν. Τίμιον ἔσται αὐτῷ πᾶν τὸ ποιοῦν τὴν δόξαν καὶ τὴν τιμὴν τῶν πρὸ αὐτοῦ βιωσάντων πατέρων καὶ ἀδελφῶν. Πᾶν τὸ καλόν, τὸ ἐπαινετὸν καὶ τὸ τίμιον, τὸ προσὸν αὐτοῖς, ὀφείλει αὐτὸς φυλάττειν ὡς προσφιλές, ἄξιον ἱστορικὸν κτῆμα. Πεπλουτισμένος τούτῳ τῷ κτήματι αὐτὸς ὀφείλει ἀκαμάτως πορεύεσθαι τὴν ὁδὸν τῆς τελειώσεως, προσλαμβάνων παρὰ τῆς περὶ αὐτὸν κοινωνίας πᾶν τὸ δυνάμενον συντελέσαι τῇ προόδῳ τῆς διδασκαλικῆς δράσεως. Ὑμεῖς συνήχθητε ἐν Μόσχᾳ, προτιθέμενοι προσκτήσασθαι γνώσεις ἀναγκαίας διὰ τὴν προπαρασκευὴν διδασκάλων τῶν ἐκ δύο Τάξεων Σχολῶν. Ἀνακοινούμενοι αὐτοῖς ἐπιστημονικὰς γνώσεις, ὑμεῖς δηλώσετε βεβαίως αὐτοῖς, πῶς δέον τῷ διδασκάλῳ διατιθέναι ἑαυτὸν πρὸς τὰ ἐν τῇ Σχολῇ διδασκόμενα παιδία. Ἀρχόμενος τῆς διδασκαλίας, ὁ διδάσκαλος ὀφείλει πειραθῆναι ἐγγὺς καταμαθεῖν τὴν διάθεσιν τοῦ πνεύματος, τὰς διανοητικὰς καὶ ἠθικὰς ἰδιότητας τῶν παιδίων ἐπὶ τούτῳ, ὅπως, συμμορφούμενος ταῖς ἰδιότησιν ἑκάστου παιδίου, ἄγῃ αὐτὸν καὶ ἐθίζῃ αὐτὸν εἰς ὑπακοήν. Ὁ καλὸς διδάσκαλος δυνήσεται, μὴ προσφεύγων εἰς αὐστηρὰς ποινάς, στηρῖξαι ἐν τῇ Τάξει τὴν ἡσυχίαν καὶ τὴν σιωπήν, ὧν ἄνευ ἡ διδασκαλία οὐ δύναται βαίνειν ἐπιτυχῶς. Μὴ ἐμπίπτων εἰς ἄψυχον σχολαστικισμόν, αὐτὸς φρουρεῖ, ὅπως ἕκαστος τῶν μαθητῶν μετὰ προσοχῆς ἐργάζηται, οὐδαμῶς ἐμποδίζων τὰς ἀσχολίας τῶν ἄλλων. Ὁ ἀείποτε ἐγκρατής, ὁ περὶ πάντων τῶν μαθητῶν ὁμοίως φροντίδα ποιούμενος, ὁ μὴ ἔχων ἀγαπωμένους, ὁ ἐπιμελῶς βοηθῶν τοῖς ἧσσον ἱκανοῖς, ὁ καλὸς διδάσκαλος οἷός τε ἔσται ὁριστικῷ καὶ ἐξουσιαστικῷ λόγῳ καλέσαι εἰς τάξιν τοὺς ἀκολάστους καὶ χαλινοῦν τοὺς ἀπειθεῖς. Ὢν αὐστηρὸς πρὸς ἑαυτόν, ὁ διδάσκαλος φανερὰν ποιήσει τὴν αὐστηρότητα ἐκεῖ, ὅπου αὕτη προκαλεῖται ταῖς ἀπαιτήσεσι τῆς εὐταξίας τῆς Σχολῆς. Αἱ τοῦ διδασκάλου σχέσεις πρὸς τὰ παιδία οἰκοδομητέαι ἐπὶ δικαιοσύνης. Ἑκάστῳ παιδίῳ αὐτὸς ὑπόχρεως ἀποδιδόναι τὸ ὀφειλόμενον, μετὰ πλήρους ἀπαθείας καὶ οὐδαμῶς χειραγωγούμενος προσωπικοῖς τισιν ἢ ἄλλοις σκοποῖς. Ὁ διδάσκαλος, ὁ ὀρθῶς νοῶν τὴν ἑαυτοῦ κλῆσιν, οὐ δύναται μὴ ἀγαπᾶν τὰ παιδία. Αὐτὸς ἀεὶ διὰ μνήμης ἕξει, ὅτι ὁ Κύριός ἐστιν ἀγάπη, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ μένει ἐν τῷ Θεῷ, καὶ ὁ Θεὸς ἐν αὐτῷ. Ἀγαπᾶν τὰ παιδία ἐστιν εὔχεσθαι αὐτοῖς τὸ ἀγαθόν. Ἡ φρόνιμος ἀγάπη οὐκ ἔστι θωπεία τῶν παιδικῶν ἁμαρτημάτων. Πᾶς παιδαγωγός, ὁρῶν ἔκφανσίν τινα οὐ καλοῦ αἰσθήματος τοῦ παιδίου, ὀφείλει ἐπέχειν αὐτόν. Ἡ ἀγάπη οὐδαμῶς ἀποκλείει τὴν αὐστηρότητα. Πᾶσαν ἔκφανσιν τοῦ κακοῦ δεῖ εὑρίσκειν ὁριστικὴν ἀντίστασιν. Οἱ παῖδες ἀεὶ ὀφείλουσιν αἰσθάνεσθαι, ὅτι ἐν παντὶ κακῷ εὑρήσουσιν ὁριστικὴν ἀντενέργειαν. Ἡ παιδεία ἡ φαύλη, τοῦτ᾽ ἔστιν ἡ θωπεία δι᾽ ἀφροσύνην τῶν ἐπιθυμιῶν καὶ κακῶν κλίσεων τῶν παιδίων ἐστὶν οὐχὶ ἀγάπη πρὸς αὐτά, ἀλλὰ μᾶλλον διαφθορὰ αὐτῶν. Ἕνεκα τῆς ὠφελείας αὐτῶν τῶν παιδίων δέον χαλινοῦν τὰς κακὰς κλίσεις αὐτῶν, ταῖς δὲ καλαῖς ὁρμαῖς αὐτῶν διδόναι εὐρὺν τόπον.

Ἡ χριστιανικὴ ἀγωγὴ τοῦ παιδίου καλεῖ τὸν διδάσκαλον εἰς τὴν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μέριμναν περὶ τῆς ἀναπτύξεως παρὰ τοῖς παιδίοις τοῦ αἰσθήματος τῆς φιλαδελφίας. Τὰ παιδία μιᾶς Σχολῆς ὀφείλουσιν, ὡς ἀδελφοί, ἀγαπᾶν ἀλλήλους. Ὅπου ἡ ἀγάπη, ἐκεῖ οὐκ ἔστι τόπος τοῖς ἀκροχειρισμοῖς, ταῖς ἔρισι καὶ τῇ κακολογίᾳ. Τὰ παιδία τῶν χριστιανῶν ἐν χαρᾷ καὶ εὐθύμως διάγουσι τὴν ἐργάσιμον ἡμέραν· ἐθίζονται ἀλληλοβοηθεῖν, σκέπτεσθαι οὐ περὶ ἑαυτῶν, ἀλλὰ περὶ τῶν ἄλλων, ἀγαπᾶν τοὺς πλησίον, οὐχὶ δὲ λυπεῖν, μηδένα κακοποιεῖν, εἶναι συμπαθῆ τοῖς ζώοις, μὴ καταστρέφειν φωλέας πτηνῶν, μὴ βασανίζειν τὰ πτηνά, ἀλλ' ἀκροώμενα τῆς μελῳδίας αὐτῶν ᾄδειν δόξαν τῷ Ποιητῇ, τῷ πάντα ἐν σοφίᾳ ποιήσαντι.

Ἐν τῇ χριστιανικῇ ἀγωγῇ τῶν παιδίων δέον δι' ἰδίας φροντίδος ἔχειν τὴν Ἐκκλησιαστικὴν ὑμνῳδίαν. Ὁ λαὸς ἡμῶν καὶ τὰ παιδία αὐτοῦ εἰσὶν ἄγαν μουσικοί· ἀπόνως, ἐξ ἀκοῆς, συνιστῶνται χοροὶ παρ' ἡμῖν, καὶ οἵων ὀλίγον γνωστῶν πλούτων κύριοί ἐσμεν ἐν τῇ συλλογῇ τῶν ἀρχαίων Ἐκκλησιαστικῶν ὑμνῳδιῶν ἡμῶν. Ἐνδεὴς ἦν ἡ γῆ ἡμῶν λίθου, καὶ ὀλίγα λείψανα ὑπελείφθησαν τοῦ μεγαλείου ἐκ τῶν προτέρων χρόνων, ἀλλὰ τὸ προσευκτικὸν πνεῦμα τοῦ ῥωσσικοῦ λαοῦ ἔπλασεν ὁλόκληρον εἱρμὸν θαυμασίων ὑμνῳδιῶν. Δι' αὐτῶν ἐδόξαζε τὸν Ποιητήν, δι' αὐτῶν ἐξέχεε τὴν πνευματικὴν χαρὰν αὐτοῦ καὶ θλῖψιν. Ἐν τῇ ἀπείρῳ ποικιλίᾳ τῶν μεγαλοπρεπῶν ᾀσμάτων ἐξεφράζετο ἡ ποιητικὴ δύναμις τῆς προσευχτικῆς διαθέσεως τοῦ πνεύματος αὐτοῦ. Ἡ Σχολὴ ἡ Ἐκκλησιαστικὴ δύναται χρῆσθαι τούτοις τοῖς θησαυροῖς τοῖς πᾶσι προσιτοῖς. Οἱ διδασκόμενοι, πολλάκις ἀσκούμενοι περὶ τὴν ὑμνῳδίαν, κοσμήσουσιν ἁρμονικοῖς χοροῖς τὴν θείαν λατρείαν ἐν ταῖς λιταῖς ἐκκλησίαις τῶν κωμῶν. Αὕτη ἡ ἐκμάθησις τῶν ὑμνῳδιῶν παρίσταται διττῶς ἐπωφελὴς τῇ Σχολῇ ἀσχολία. Πιθανῶς ὑμεῖς αὐτοὶ ἐτυγχάνετε σκοποῦντες, μεθ' οἵας συγκεκεντρωμένης προσοχῆς ἀντιλαμβάνονται τὰ παιδία πάντων τῶν ἐν χρήσει Ἐκκλησιαστικῶν ᾀσμάτων· μανθάνοντες δυσεκπλήρωτόν τι δοξαστικὸν (δογματικὸν) τοῦ σημειοφόρου ᾄσματος ἐπιμελῶς τηροῦσι τὸ μέτρον, προσεκτικῶς παρακολουθοῦσι τῇ κινήσει τοῦ διδασκάλου, προσέχουσι τῇ ψαλμῳδίᾳ τῶν γειτόνων. Ἤ, ἄλλως εἰπεῖν, ἐθίζονται εἰς τὴν τάξιν ἐν τῇ κοινῇ ἐργασίᾳ καὶ δὴ ἐργασίᾳ, στηριζούσῃ αὐτὰ ἐν τῇ προσευχτικῇ διαθέσει τοῦ πνεύματος καὶ ἀπαρατηρήτως πλουτιζούσῃ τὴν μνήμην τῇ γνώσει τοῦ κειμένου τῶν Ἐκκλησιαστικῶν ᾀσμάτων. Αἱ συμψαλμῳδίαι αἱ γινόμεναι ἐν ταῖς Ἐκκλησιστικαῖς Σχολαῖς, προσελκύουσι πολλάκις πολλοὺς ἀκροατάς. Ἐν χωρίῳ, ἐνδεεῖ τῆς χαρᾶς τοῦ κόσμου, ἡ τοιαύτη συμψαλμῳδία παρίσταται ὡς γεγονός, παραβιάζον τὸ μονότονον τοῦ ἡμερησίου βίου. Καὶ ὁ γέρων καὶ ὁ νέος συνέρχονται εἰς τὴν Σχολήν, καὶ εἰ ἐκεῖ τὸ μέρος στενόχωρον, συναθροίζονται πέριξ αὐτῆς, καὶ ἐν κατανύξει ἀκροώμενοι τῶν Ἐκκλησιαστικῶν ᾀσμάτων γίνονται ἔμπειροι τοῦ περιεχομένου αὐτῶν. Πρὸς τῇ Ἐκκλησιαστικῇ ὑμνῳδίᾳ ἐν τῇ Σχολῇ ἡμῶν δίδοται τόπος καὶ τῇ ᾠδῇ ὕμνων καὶ ᾀσμάτων τοῦ κόσμου.

Ἡ Ἐκκλησιαστικὴ Σχολὴ οὐκ ἀποξενοῦται ἀπ' αὐτῶν, μὴ ἀντικειμένων τοῖς παιδαγωγικοῖς σκοποῖς αὐτῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Διὰ φροντίδος ἔχοντες τὴν χριστιανικὴν παιδαγώγησιν τῶν διδασκομένων ἐν τῇ Σχολῇ, ὑμεῖς μεριμνήσετε περὶ τῆς φυσικῆς ἀναπτύξεως αὐτῶν, πειράσεσθε ἀσκεῖν αὐτοὺς ἐν τῷ ξυλουργικῷ, βιβλιοῤῥαφείῳ καὶ ἄλλοις ἐργαστηρίοις, ὡς καὶ ἐν τοῖς κήποις, λαχανείαις, ἀγροῖς ἢ ἐν μελισσουργείοις, ἱδρυομένοις ὡς δυνατὸν παρὰ ταῖς Σχολαῖς. Καὶ ταύταις ταῖς ἐπωφελέσι προσθέτοις γνώσεσιν ἡ Ἐκκλησιαστικὴ Σχολὴ δίδωσι τὸν δέοντα τόπον. Ἐν τοῖς μαθηταῖς αὐτῆς αὕτη ποθεῖ ὁρᾷν ἄνδρας ἰσχυροὺς τῷ πνεύματι καὶ ὑγιεῖς τῷ σώματι. Οἱ μαθηταὶ αὐτῆς ὀφείλουσι καὶ ἀποφοιτῶντες διατελεῖν συγγενεῖς αὐτῇ. Σὺν τῇ ἐξόδῳ ἐκ τῆς Σχολῆς ὁ μεταξὺ αὐτῆς καὶ τῶν μαθητῶν δεσμὸς οὐ διαῤῥηκτέος. Καὶ οἷον ὄφελος προσοίσει ἡ Ἐκκλησιαστικὴ Σχολή, ὅτε αὐτὴ μέλλει διατιθέναι ἐντελῶς κατάλληλον τόπον, ὅτε ἐν τῇ Σχολῇ ταύτῃ ἔσται δυνατὸν κατὰ κυριακὰς καὶ ἑορτὰς συνιστάναι πᾶσι μορφωτικὰς ἀναγνώσεις, ψάλλοντος τοῦ χοροῦ τῆς Σχολῆς. Πῶς παρήγορον ἔσται βλέπειν ἐν τοιαύτῃ Σχολῇ καὶ ἀναγνωστήριον τῆς παροικίας. Αἱ θύραι τῆς Σχολῆς εὐρέως ἠνεῳγμέναι κατὰ τὰς ἑορτὰς ἀποσπάσουσι τὸν λαὸν ἀπὸ τοῦ καπηλείου. Ἡ ἐπωφελὴς καὶ εὐχάριστος τοῦ χρόνου διατριβὴ ἀναστελεῖ τὴν μέθην καὶ τὸν κῶμον. Ἴσως ἐροῦσιν ἡμῖν, ὅτι αἱ πενιχραὶ Ἐκκλησιαστικαὶ Σχολαὶ τῶν ἡμερῶν ἡμῶν πολλάκις ὅλως ἄχρηστοι πρὸς τοιούτους εὐρεῖς σκοπούς. Μηδεποσῶς κλείοντες τοὺς ὀφθαλμοὺς εἰς τὴν νῦν πενίαν ἡμῶν, μὴ ἀπατώμενοι τῇ ὑπερβολικῇ γνώμῃ περὶ τοῦ ἐπαρκοῦς ἀριθμοῦ τῶν εὖ παρεσκευασμένων διδασκάλων, ἐπιτρέπομεν ὅμως ἑαυτοῖς φρονεῖν, ὅτι ἐν τῷ ἔργῳ τῆς Σχολῆς δέον ἔχειν ἰδανικά τινα, ὧν πρὸς πραγμάτωσιν καὶ διευθυντέαι αἱ φιλικαὶ σπουδαὶ πάντων τῶν κεκλημένων φροντίζειν περὶ τῆς δημοσίου ἐκπαιδεύσεως. Ἐφ' ὑμᾶς δὲ τοὺς καὶ τὰς διδασκάλους τῶν ἐκ δύο τάξεων Σχολῶν κεῖται τὸ ἔργον τοῦ παρασκευάζειν τοιούτους διδασκάλους, δυναμένους ἀγαγεῖν εἰς ἐκπλήρωσιν τὰς παραδιδομένας ὑφ' ὑμῶν ἀρχὰς ἔν τε τῇ Σχολῇ, τῇ κατηρτισμένῃ καθ' ὅλας τὰς συγχρόνους παιδαγωγικὰς ἀπαιτήσεις, καὶ ἐν αὐτῇ τῇ λιτῇ, τῇ ἀκόμψῳ κατασκευῇ τοῦ πενιχροῦ Ἐκκλησιαστικοῦ φυλακτηρίου, ἤτοι τῆς μισθωτῆς καλύβης. Ἐν εὐρεῖ τόπῳ, εὖ ἀναψυχομένῳ, μετὰ καταλλήλων ἑδρῶν, βεβαίως κρεῖσσον καὶ ἡδύτερον διδάσκειν, ἀλλ' ὁ καλὸς διδάσκαλος οἶδε διδάσκειν τὰ παιδία τῶν ἀγροτῶν καὶ ἐν αὐτῇ τῇ λιτῇ καὶ πενιχρᾷ κατασκευῇ. Τὸ πᾶν ἔγκειται ἐν αὐτῷ τῷ διδασκάλῳ ἐν τῇ ἀφοσιώσει αὐτοῦ τῷ ἔργῳ καὶ ἐν τῇ ἀγάπῃ πρὸς τὰ παιδία. Κύριος βοηθήσαι ὑμῖν παιδαγωγεῖν ἐν τούτοις τοῖς ἁγίοις αἰσθήμασι τοὺς καὶ τὰς διδασκάλους τοῦ μέλλοντος. (См. Прибавл. къ Церков. Вѣдом. за 1897 г. № 30. Стран. 1035—1038).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΛΥΣΙΝ ΑΡΙΘ.

# XII.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐπισκέψει τῶν παιδαγωγικῶν μαθημάτων ἐν Καζάνῃ πρὸς τοὺς καὶ τὰς διδασκάλους τῶν ἐκ δύο Τάξεων Σχολῶν τὴν 21 Ἀπριλίου 1897 ἔτους.

Προσαγορεύων ὑμᾶς τοὺς καὶ τὰς διδασκάλους τῶν ἐκ δύο Τάξεων Σχολῶν τῶν ἐπαρχιῶν, ὧν τοῖς κατοίκοις συγκαταλέγονται διάφοροι ἀλλόφυλοι, οὐ δύναμαι μὴ ἐνδιατρῖψαι ἔν τισιν ἰδιότησιν τῶν προκειμένων ὑμῖν ἐκπαιδευτικῶν μόχθων ἐν μέσῳ τῶν παιδίων τῶν ἀλλοφύλων, τῶν κεκλημένων εἰς ἕνωσιν μετὰ τοῦ ῥωσσικοῦ ἔθνους.

Λόγου γινομένου περὶ Σχολῶν ἐν μέσῳ τῶν ἀλλοφύλων, δέον ἀεὶ ἔχειν πρὸ ἑαυτῶν τὴν φωτεινὴν εἰκόνα τοῦ ἀλήστου Νικολάου Ἰβάνοβιτς Ἰλμήνσκη, τοῦ τόσῳ συνετῶς διαχαράξαντος τὴν μόνην πιστὴν μέθοδον τῆς ἐκπαιδεύσεως τῶν ἀλλοφύλων διὰ τῆς Σχολῆς, τῆς σεβομένης τὰς φυλετικὰς αὐτῶν ἰδιότητας καὶ πιστῶς ἀγούσης εἰς ἕνωσιν μετὰ τοῦ ῥωσσικοῦ πολιτισμοῦ. Ἅπαν τὸ σύστημα τοῦ κοινοῦ, τοῦ μὴ δυναμένου ἀντικατασταθῆναι διδασκάλου ἡμῶν Νικολάου Ἰβάνοβιτς Ἰλμήνσκη ἦν ᾠκοδομημένον ἐπὶ τῆς ἐννοίας τοῦ δύναμιν ἔχειν πρὸς τὰς καρδίας τῶν ἀλλοφύλων τῇ χριστιανικῇ, Ἐκκλησιαστικῇ ἀγωγῇ αὐτῶν. Ἡ Ἐκκλησία ἡ Ὀρθόδοξος καὶ λαμπρῶς καλλύνεται τούτῳ, ὅτι οὐ μόνον φυλάττει τὴν μνήμην τῆς ἐπιφανεστάτης ἑορτῆς τῆς Πεντηκοστῆς, ἀλλὰ καὶ δίδωσι τὴν ἐξουσίαν ἀκωλύτως ἑκάστῳ τῶν τέκνων αὐτῆς δοξολογεῖν τὸν Κύριον ἐν τῇ ἑαυτοῦ γλώσσῃ. Καὶ οἱ πρῶτοι διδάσκαλοι ἡμῶν, οἱ ἅγιοι ἀδελφοὶ Κύριλλος καὶ Μεθόδιος, ἀντηχήσαντες τοὺς ναοὺς τῇ μεταφράσει τῶν Ἁγίων Γραφῶν καὶ τῶν Ἐκκλησιατικῶν ὕμνων εἰς τὴν Σλαβωνικὴν γλῶσσαν, οὕτως ἐνετείλαντο ἡμῖν ποιεῖν διὰ τοὺς ἄλλους τοῦτο, ὅπερ αὐτοὶ ἐποίησαν δι' ἡμᾶς. Καὶ ἰδού, ὁ ἀείμνηστος Νικόλαος Ἰβάνοβιτς καὶ οἱ ἄξιοι ἐκ Καζάνης συνεργάται αὐτοῦ ἔδωκαν τοῖς ἀλλοφύλοις, τοῖς ἐνοικοῦσιν ἐν Καζάνῃ καὶ ἐν ὁμόροις αὐτῇ κυβερνείοις, μεταφράσεις τῶν Γραφῶν καὶ τῶν προσευχηταρίων εἰς τὰς γλώσσας τῶν ἀλλοφύλων, παρεσκεύασαν ἑκατοντάδας διδασκάλων, μετ' αὐταπαρνήσεως ἀφωσιωμένων τῷ διδασκαλικῷ ἐπαγγέλματι ἐν μέσῳ τῶν εἰς ἐκπαίδευσιν καλουμένων ποικίλων ἀλλογενῶν φυλῶν. Ἰδίαν προσοχὴν ἔτεινον ἐπὶ τὸ ἄγειν αὐτοὺς οὐχὶ ἐξωτερικῇ τινι μόνον τυπικῇ ὁδῷ· φροντὶς ἦν ἄλλη, ἀνάγκη ἦν διαθεῖναι τὰς καρδίας αὐτῶν εἰς ἀκρόασιν τῆς διδασκαλίας, καὶ ὀρθῶς, ἐντελῶς συνῳδὰ ταῖς μεθόδοις τοῦ ἀποστολικοῦ κηρύγματος ἔπραξαν ὁ Νικόλαος Ἰβάνοβιτς καὶ οἱ μαθηταὶ αὐτοῦ. Αὐτοὶ ἐστράφησαν πρὸς τοὺς ἀλλοφύλους μετὰ διαλέκτου, μητρικῆς αὐτοῖς, καὶ οἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλλόφυλοι ἐνόησαν αὐτούς. Διδασκόμενα ἐν μητρικῇ γλώσσῃ τὰ γράμματα, τὰ παιδία σύναμα παρασκευάζονται εἰς τὴν ἐκμάθησιν τῆς ῥωσσικῆς γλώσσης, ἧπερ βοήθημά ἐστι καὶ ἡ διαχάραξις τῶν στοιχείων τοῦ ἀλφαβήτου τῶν ἀλλοφύλων, σοφῶς προσειλημμένη ἐκ τοῦ ῥωσσικοῦ ἀλφαβήτου. Ἡ ἀνοχὴ αὕτη πρὸς τὴν γλῶσσαν τῆς οὐ μεγάλης φυλῆς δείκνυσι τὸ χριστιανικὸν πνεῦμα τῶν ἀληθῶν φωτιστῶν τοῦ λαοῦ. Οὐ δεῖ φοβεῖσθαι τὸ πνεῦμα τοῦ χωρισμοῦ τῶν Τσερεμίσων, Τσουβάσσων καὶ Βοτιάκων, ἀλλὰ φροντιστέον, ὅπως ἅπαντες οὗτοι οἱ ἀλλόφυλοι, ὁρῶντες τὴν σεβομένην τὰς ἰδιότητας αὐτῶν ἰσχὺν τῆς ῥωσσικῆς ἐθνικῆς ἰδέας, ῥέπωσι πρὸς αὐτήν, ὡς τὸ ἀσφαλέστατον στήριγμα τῆς οἰκείας αὐτῶν εὐδαιμονίας. Οὐ πάντες γε ὡμολόγουν καὶ ὁμολογοῦσι τὴν ὀρθότητα τούτου τοῦ συστήματος, ἔστιν ἑτέρα θεωρία· φασίν, ὅτι ῥᾷον ἅμα καταλύειν τὰς τῶν ἀλλοφύλων διαλέκτους καὶ ἐν τῇ Σχολῇ διδάσκειν μόνον ἐν μιᾷ ῥωσσικῇ γλώσσῃ. Ἐξωτερικῶς, τυπικῶς ἡ τοιαύτη θεωρία ἔχει πολὺ τὸ ἐπίχαρι. Ἀντὶ τῆς ἐπιβαρυντικῆς τῷ διδασκάλῳ διγλωττίας ἁπλούστερον διδάσκειν ἐν μιᾷ γλώσσῃ. Ἀλλ' ἐν τούτῳ ἐπιλανθάνονται, ὅτι οὐδαμῶς ἡ Σχολικὴ διδασκαλία περιακτέα εἰς μίαν μόνον μηχανικὴν γνῶσιν τοῦ ἀναγινώσκειν καὶ γράφειν. Οὐχί, ἡ Σχολὴ ἔχει συνθετώτερον ἔργον—αὐτῇ προσήκει ἐξεργάζεσθαι παρὰ τοῖς διδασκομένοις διάθεσίν τινα τοῦ πνεύματος. Καὶ εἶχε δίκαιον ὁ Νικόλαος Ἰβανόβιτς, ὅτε βάσιν τοῦ διδασκαλικοῦ αὐτοῦ καθεστῶτος ἐτίθη τὴν ὑγιᾶ παιδαγωγικὴν αὐστηρῶς Ἐκκλησιαστικὴν ἀρχήν. Γενόμενος κύριος τῶν καρδιῶν τῶν μαθητῶν, αὐτὸς ἐνεφύτευσεν αὐτοῖς τὴν καλήν, ἀκεραίαν καὶ σταθερὰν διάθεσιν τοῦ πνεύματος, καὶ τῷ οἰκείῳ παραδείγματι ἐνθέους ἐποίει αὐτοὺς διανῦσαι τὸν διδασκαλικὸν ἀγῶνα. Ὁ ἁπλοῦς, ὁ τοῖς πᾶσιν ἀεὶ εὐπροσήγορος, ὁ ἐκτιμητὴς τῶν καλλονῶν τῆς γλώσσης τῶν Ἐκκλησιαστικῶν βιβλίων τῆς θείας λατρείας, ὁ λεπτὸς καὶ ἔμπειρος ἑρμηνευτὴς τῶν δυσχερῶν καὶ οὐ πᾶσιν εὐλήπτων χωρίων τοῦ Ψαλτῆρος καὶ τῶν ἄλλων βιβλίων τῆς θείας λατρείας, Νικόλαος Ἰβανόβιτς μετὰ χαρᾶς ἀνεκοινοῦτο τοὺς θησαυροὺς τῶν γνώσεων αὐτοῦ τοῖς πολυαρίθμοις μαθηταῖς αὐτοῦ, διήνοιγεν αὐτῶν τὸν νοῦν πρὸς τὸ συνιέναι τὴν προσφιλῆ αὐτῷ καλλονὴν τῆς μητρικῆς διαλέκτου. Ἀγαπῶν αὐτὴν καὶ ἀπὸ τῶν ἐλαχίστων ἀδελφῶν αὐτὸς οὐκ ἠδύνατο ἀποποιεῖσθαι τὴν ἀγάπην πρὸς τὴν ἑαυτῶν γλῶσσαν, καὶ οὐδεποσῶς ἐφοβεῖτο ταύτην τὴν ἐπίκλισιν. Οὐκ ἠπείλουν αὐτὸν αἱ αὐθυπόστατοι τῶν Τσουβάσσων ἢ τῶν Τσερεμίσων φιλολογίαι,—αὐτὸς ἐγίνωσκεν, ὅτι κατὰ τὸν αἰῶνα ἡμῶν φιλολογικαὶ δύνανται εἶναι μόνον αἱ γλῶσσαι, αἱ ἔχουσαι μᾶλλον εὐρεῖαν δι' ἅπαντας τοὺς ἀνθρώπους σημασίαν, αἱ γλῶσσαι τῶν λαῶν, τῶν ἐχόντων ἐπαρκῆ ἀριθμὸν ἀνθρώπων, δυναμένων ἀναγινώσκειν τὰ προϊόντα τοῦ ἐντύπου λόγου. Οὐ δύναται εἶναι ἐπικίνδυνος τῇ ἐθνικῇ ἑνότητι ἡ ὁμιλία ἐν ἐπιτοπίῳ διαλέκτῳ δεκάδων τινῶν ἢ καὶ ἑκατοντάδων χιλιάδων ἀνθρώπων, ἰδίᾳ ὅτε ἐμφυτεύεται αὐτοῖς ἡ συνείδησις πάντων τῶν ἀγαθῶν, τῶν ἀπορρεόντων ἐκ τῆς ἐκμαθήσεως τῆς μορφωτικῆς γλώσσης τοῦ ῥωσσικοῦ λαοῦ, μεθ' οὗ αὐτοὶ κέκληνται εἰς ἀχώριστον ὕπαρξιν. Καὶ οὗτός γε ὁ ἐκ πολλῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μιλιουνίων λαὸς ἀεὶ μετ' ἀγάπης ἀνέξεται παρ' ἑαυτῷ οἴκοι τὴν ἥσυχον τοῦ ἀρχαίου, ὡς αὐτός, ἀλλ' ἀσθενεστέρου ἐνοικιστοῦ τῆς αὐτῆς πατρίδος.

Ὁ καλὸς χριστιανός, ὁ πιστὸς υἱὸς τῆς Ἐκκλησίας Νικόλαος Ἰβανόβιτς ἐναργῶς ἐγίνωσκε ταύτας τὰς ἀρχάς· ἐρῶ μᾶλλον, αὗται αἱ ἀρχαὶ ἐπνευματοποίουν πᾶσαν αὐτοῦ τὴν ἐνέργειαν, καὶ τέλος ἀδύνατον μὴ εὔχεσθαι, ὅπως χειραγωγῶνται ὑπ' αὐτῶν καὶ ἐκεῖνοι ἐξ ὑμῶν, οἷς συμβήσεται δρᾶν ἐν χώρᾳ, ἐχούσῃ ἀλλόφυλον συνοικίαν. Ἀλλὰ καὶ δι' ἄλλους ὡς καὶ καθόλου διὰ πάντας ἡμᾶς ὁ Νικόλαος Ἰβανόβιτς ὀφείλει εἶναι ὑψηλὸν πρότυπον τῆς μετ' αὐταπαρνήσεως δράσεως διδασκάλου, πλουσίου ποικίλαις γνώσεσι, θαυμασίως σώφρονος καὶ ἐντελῶς ἀφιλοκερδοῦς ἐργάτου. Πόσον ὀλίγον αὐτὸς περὶ πολλοῦ ἐποιεῖτο τὸ χρηματικὸν ὄφελος, καταφανὲς ἐκ τούτου, ὅτι αὐτὸς τὰ πολύτιμα διδακτικὰ βιβλία αὐτοῦ ἀμισθεὶ παρέδωκεν εἰς πλήρη ἰδιοκτησίαν τοῦ Συμβουλίου τῶν Σχολῶν. Αἱ ἐκδόσεις αὗται ἠδύναντο πλουτῖσαι αὐτὸν καὶ τοὺς συγγενεῖς αὐτοῦ, εἰ διελογίζετο περὶ χρηματικοῦ κέρδους, ἀλλ' ὁ νοῦς αὐτοῦ οὐκ ἐσκοτίζετο τοῖς χρηματικοῖς ὑπολογισμοῖς, καὶ ἅπαντας τοὺς θησαυροὺς τῆς ἑαυτοῦ γνώσεως δωρεὰν ἀπέδωκε τῇ προκαταρκτικῇ Σχολῇ, δι' ἣν ἀφιλοκερδῶς εἰργάζετο μέχρι τῆς τελευταίας ἡμέρας τοῦ πολυωφελοῦς βίου αὐτοῦ. Διηκόνει τῷ φωτισμῷ τοῦ λαοῦ, καὶ ἀεὶ ἐπειρᾶτο ἐνισχύειν τὴν εἰρήνην καὶ τὴν συμφωνίαν ἐν τοῖς ἀνθρώποις διαφόρων διοικήσεων ἐν ταῖς συνεργασίαις αὐτῶν πρὸς ὄφελος τοῦ πολιτισμοῦ τῆς πατρίδος. Ἡ μνήμη τοῦ ἀξίου τούτου ἀνδρὸς ζήτω ἐν ἡμῖν, εὐτυχήσασι διδαχθῆναι πολλὰ παρ' αὐτοῦ. Ἐνθέους δὲ ποιείτω ὑμᾶς τὸ παράδειγμα τοῦ διδασκάλου ἐν τοῖς μόχθοις, τοῖς ἀφιερωμένοις τῇ διδασκαλίᾳ καὶ τῇ παιδαγωγήσει τοῦ λαοῦ. Ἄγοντες εἰς ζωὴν ἐκείνας τὰς ἀρχάς, αἵτινες ἀεὶ ἦσαν αὐτῷ προσφιλεῖς, ὑμεῖς ὑπὸ τὴν χειραγωγίαν τῶν ποιμένων τῆς Ἐκκλησίας στηρίξετε τοὺς μαθητὰς ὑμῶν ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως, ἐνοικίσετε εἰς τὰς καρδίας αὐτῶν τὴν ἀγάπην πρὸς τὸν Θεόν, τὴν ἁγίαν Ἐκκλησίαν, τὸν Βασιλέα καὶ τὴν πατρίδα, εὔξεσθε σὺν αὐτοῖς, ὅπως ἥσυχον καὶ ἤρεμον βίον διάγωσιν ἐν πάσῃ εὐσεβείᾳ καὶ ἁγνότητι· ἐμφυτεύσετε αὐτοῖς καλὰς ἕξεις τῆς τιμίας ἐργασίας, ἀγάπην πρὸς ἀνάγνωσιν καλῶν καὶ ἐπωφελῶν βιβλίων· συντελέσετε τῇ διαπλάσει τῶν προσόντων ἑκάστῳ αὐτῶν χαρισμάτων, καὶ ἐν γένει δυνήσεσθε ἐξευγενίζειν αὐτοὺς καὶ ἀνατρέφειν ἐν αὐτοῖς ἕξιν εἰς τὴν τάξιν, ταύτην τὴν βάσιν τῆς ἀνθρωπίνης πολιτείας.

Μετ' ἀγάπης φροντίζετε περὶ τῶν Σχολῶν τῶν θηλέων. Ἡ εὖ δεδιδαγμένη καὶ διατεθειμένη κόρη δύναται μέγα ὠφελεῖν ὅλον τὸν οἶκον. Τὰς γνώσεις καὶ τὰς ἕξεις τὰς προσκεκτημένας ὑπ' αὐτῆς ἐν τῇ Σχολῇ εὐχερῶς αὐτὴ δύναται ἐφαρμόζειν καὶ τῷ κατ' οἶκον βίῳ. Οἱ μαθηταί, ἀπολυόμενοι ἐκ τῶν Σχολῶν, πολλάκις ἐγκαταλείπουσι τοὺς οἴκους τῶν γονέων, οὐ σπανίως ἀπέρχονται εἰς ἐργοστάσια ἢ κεχωρισμένας ἐργασίας. Αἱ δὲ κόραι οὐ πολλῶν ἐξαιρουμένων, ἀεὶ ἐπανακάμπτουσιν ὑπὸ τὴν σκέπην τῶν γονέων, ἢ ἐρχόμεναι εἰς γάμου κοινωνίαν εἰσέρχονται εἰς νέον οἶκον. Ἀλλὰ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν τούτῳ καὶ ἐν ἐκείνῳ ἁρμοδίως δύνανται καθ' ἡμέραν ἐφαρμόζειν τῷ βίῳ πᾶν, ὅ,τι ἐδιδάχθησαν ἐν τῇ Σχολῇ.

Αὗται αἱ μέλλουσαι μητέρες, διδάσκουσαι κατὰ τὰς μακρὰς τοῦ χειμῶνος νύκτας τοὺς παῖδας αὐτῶν τὰ γράμματα, ἐκχέουσαι ἐν ταῖς σκοτειναῖς καλύβαις τὸ φῶς τῆς Σχολικῆς διδασκαλίας, οἷον ὄφελος προσκομίσουσι τῷ πολιτισμῷ τῆς πατρίδος καὶ ὅσον ἀνακουφίσουσι τοὺς μόχθους τῶν διδασκάλων τῶν προκαταρκτικῶν Σχολῶν!

Ἐν τέλει οὐ δύναμαι μὴ εὔξασθαι ὑμῖν προσκτήσασθαι κατὰ τὴν διαμονὴν ὑμῶν ἐν τοῖς ἐν Καζάνῃ παιδαγωγικοῖς μαθήμασι ὡς δυνατὸν πλείονα πορισμὸν γνώσεων, δυναμένων χρησιμεῦσαι πρὸς ὄφελος τῶν μαθητῶν καὶ μαθητριῶν ὑμῶν, τῶν παρασκευαζομένων εἰς τὸ διδασκαλικὸν ἐπάγγελμα ἐν ταῖς Σχολαῖς τῶν γραμμάτων. Πρὸς ἐπιτυχῆ ἀνάπτυξιν τῶν Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν ἀπολύτως ἀνάγκη ἰδίᾳ σπουδάζειν περὶ τὴν παρασκευὴν πολλῶν χιλιάδων φωτιστῶν τοῦ λαοῦ, κεκτημένων χρησίμους πρὸς τὸ διδασκαλικὸν ἐπάγγελμα γνώσεις, εὖ διατεθειμένων, ἀγαπώντων τὴν Σχολὴν καὶ προθύμων μετ' αὐταπαρνήσεως μοχθῆσαι πρὸς τὸ κοινὸν ἀγαθόν·

Ὁ Κύριος στέψαι τοὺς μόχθους ὑμῶν τῇ ἐφετῇ προόδῳ. (См. Прибавл. къ Церк. Вѣдом. за 1897 г. № 30. Стран. 1038—1040).

# XIII.

## ΛΟΓΟΣ

## ἐπὶ τῇ ἐνάρξει τῆς ἐν Καζάνῃ Γ.' συνελεύσεως τῶν ἱεραποστόλων πασῶν τῶν Ῥωσσιῶν, τὴν 22 Ἰουλίου 1897 ἔτους.

Προσαγορεύω ὑμᾶς, ἀξιότιμοι πατέρες καὶ ἀδελφοί, οἵ συνήλθετε ἐν Καζάνῃ εἰς τὴν τρίτην συνέλευσιν ἱεραποστόλων. Αἱ δύο πρῶται συνελεύσεις, αἱ κατὰ τὰ ἔτη 1887 καὶ 1891 ἐν Μόσχᾳ γενόμεναι, οὐχ ὀλίγον ὠφέλησαν. Τοῖς μόχθοις τῶν πατέρων ἱεραποστόλων φανεραὶ ἐγένοντο πολλαὶ συνθῆκαι, συντελέσασαι τῇ προόδῳ τῆς δράσεως τῶν ἱεραποστόλων ἐν μέσῳ τῶν αἱρετικῶν καὶ σχισματικῶν. Ἡ σύστασις τῶν ἱεραποστολικῶν συνελεύσεων μαρτυρεῖ περὶ τῶν μεριμνῶν τῆς Ἐκκλησιαστικῆς ἱεραρχίας περὶ τὸ νουθετεῖν τοὺς πλανωμένους, προσελκύειν εἰς τὴν ἑνότητα τῆς πίστεως τοὺς ἐκπεσόντας ἀπ' αὐτῆς καὶ τέλος στηρῖξαι τοὺς πιστοὺς ἐν τῇ ὀρθῇ κατανοήσει τῶν ἀληθειῶν τῆς τοῦ Χριστοῦ διδασκαλίας. Χαίρων ἐπὶ τῇ ὁμιλίᾳ μεθ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὑμῶν, ἀξιότιμοι πατέρες καὶ ἀδελφοί, οὐ δύναμαι μὴ δοῦναι τόπον τῇ βαθείᾳ λύπῃ. Οὐκ ἔστιν ἐν τῷ συνεδρίῳ ὑμῶν ὁ ἀείμνηστος πρόεδρος τῶν δύο πρώτων συνελεύσεων, ὁ πατὴρ ἀρχιμανδρίτης Παῦλος. Πολλοῖς ἐξ ὑμῶν οὗτος ὁ καλὸς πρεσβύτης μενεῖ εἰσαεὶ ἐν μνήμῃ καὶ προσφιλής. Αὐτὸς ἐκ νεότητος αὐτοῦ ἐπλανᾶτο ἐν τῷ σκότει τοῦ σχίσματος. Ὁ ἐρευνητικὸς αὐτοῦ νοῦς ἐζήτει τὴν ἀλήθειαν, ἀλλ' οὐχ ἱκανοῦτο τοῖς ἄνευ ζωῆς τύποις τῶν διδασκαλιῶν τοῦ σχίσματος. Ἐνόησεν, ὅτι τὸ σχίσμα, ὡς ὁ παλαιὸς Ἰσραήλ, οὐκ ἔγνω τὸν νόμον τῆς δικαιοσύνης. Καὶ ὁ πατὴρ Παῦλος, ἐν συνειδήσει κατανοήσας τὸ μὴ ἀληθὲς τοῦ σχίσματος, μέχρι τέλους τῶν ἡμερῶν αὐτοῦ ἀόκνως διηκόνει τῇ ἀληθείᾳ. Ἦν εὐτυχής, ὅτι εἶδε τὸ φῶς ἐν τῇ μετὰ τῆς Ἐκκλησίας ἑνώσει, καὶ ἔχαιρε φωτίζων τούτῳ τῷ φωτὶ τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους ἀδελφοὺς αὐτοῦ. Πάντας τούτους ὡς καὶ τοὺς ἀμφιγνοοῦντας περὶ τῆς πίστεως ἀεὶ ἐδέχετο μετ' ἀγάπης, ἠκροᾶτο μεθ' ὑπομονῆς, ἀπεκάλυπτε τὸν νοῦν τῶν Γραφῶν, γνωστὰς καθίστα αὐτοῖς τὰς γνώμας καὶ τὴν διδασκαλίαν τῶν πατέρων τῆς Ἐκκλησίας. Ἦν διδάσκαλος καλός, ἀεὶ πρόθυμος ἀποκρίνεσθαι παντὶ τῷ ἐρωτῶντι αὐτὸν περὶ πίστεως. Καὶ συνέρρεον πρὸς αὐτὸν εἰς τὴν διὰ τοὺς ὁμοπίστους μονὴν τοῦ ἁγίου Νικολάου καὶ ἐκ τῆς Σιβηρίας καὶ ἐκ τῆς χώρας Δὸν καὶ ἐξ ἄλλων τόπων, τῶν ἐγγὺς καὶ μακράν, μικροί τε καὶ μεγάλοι συνέρρεον διὰ διδασκαλίαν καὶ ἐξήγησιν τῶν ταραττουσῶν αὐτοὺς ἀμφιβολιῶν. Καὶ πάντας ὑπεδέχετο φιλοφρόνως καὶ μετ' ἀγάπης. Περὶ τὸ τέλος τῶν ἡμερῶν αὐτοῦ πολλάκις ἀσθενὴς ὢν ἐπελανθάνετο καὶ τῆς ἀσθενείας, ἀναπτύσσων τοῖς συζητηταῖς τὴν διδασκαλίαν περὶ τῆς σωτηριώδους δι' αὐτοὺς διαμονῆς ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ. Πάσαις ταῖς δυνάμεσι τῆς καθαρᾶς ψυχῆς αὐτοῦ ἠγάπα ταύτην τὴν Ἐκκλησίαν. Ὤκτειρε τοὺς σχισματικούς, πολλάκις λέγων περὶ αὐτῶν: οἱ ταλαίπωροι, πιστεύουσιν εἰς τὸν Χριστόν, ἀλλ' οὐ πείθονται Αὐτῷ, οὐκ ἐκπληροῦσι τὰς ἐντολὰς Αὐτοῦ καὶ ὀλλύουσιν ἑαυτούς. Τῇ τῶν ἁγίων πατέρων ἑρμηνείᾳ τοῦ λόγου τοῦ Θεοῦ ἐπειρᾶτο νουθετεῖν καὶ σώζειν αὐτούς. Οὗτος ὁ πόθος τοῦ φωτίζειν αὐτοὺς τῷ φωτὶ τῆς ὀρθῆς διδασκαλίας ἰδίᾳ ἐνεψύχου αὐτόν. Πολλοὶ ἐξ ἡμῶν οὐχ ἅπαξ ἐτυγχάνομεν ὁρῶντες αὐτὸν ἐν τῷ πενιχρῷ κελλίῳ τοῦ προϊσταμένου, φέροντα παλαιὸν χειριδωτὸν χιτῶνα (ἐνταρίον), ἡμικατακλινόμενον, ἅτε ἀπειρηκότα ἐκ τῶν κόπων καὶ τῆς νόσου. Ἡ ὄψις αὐτοῦ ὡσεὶ ἐσβέννυτο, ἀλλ' ἅμα ὡς ἤρχετο λόγος περὶ Ἐκκλησίας, ἢ προσήρχετό τις παλαιόπιστος ἢ συνομιλητὴς μετὰ ἀμφιβόλων ζητημάτων περὶ πίστεως, καὶ ὁ ἡμέτερος πατὴρ Παῦλος καθίστατο ἀγνώριστος. Ἐν τοῖς ὀφθαλμοῖς ἥπτετο ἡ λαμπηδὼν τῆς ζωηρᾶς διανοίας, τὸ στόμα ἠνοίγετο καὶ ἐκ τοῦ ἐξισχνωμένου πρεσβυτικοῦ στήθους ἐξήρχετο καλός, συνετίζων, διδακτικὸς λόγος, αἰχμαλωτίζων τοὺς ἀκροατὰς τῷ βάθει τῆς θεολογικῆς γνώσεως, τῇ ὀρθότητι τοῦ λογικῶς σκέπτεσθαι καὶ τῷ κάλλει τῆς ἁπλῆς καὶ σαφοῦς ἐκθέσεως. Ὁ ἀείμνηστος διδάσκαλος ἡμῶν οὐ συνῆγε θησαυροὺς ματαίους καὶ φθαρτοὺς ἐπὶ τῆς γῆς. Ἐν νῷ εἶχε τὸν λόγον τοῦ Ἀποστόλου, ὅτι «τὸ φρόνημα

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆς σαρκὸς θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη» (Ρωμ. 8, 6).

Ὁ πατὴρ Παῦλος μεγάλην ἀπεδίδου σημασίαν ταῖς συνελεύσεσι τῶν ἱεραποστόλων. Ἔβλεπεν ἐν αὐταῖς τὴν μέθοδον τὴν πιστὴν τῆς συγκεντρώσεως τῶν ἔργων τῶν εὐαγγελιστῶν τῆς ἀληθείας καὶ προσεδόκα ἀπ' αὐτῶν ἀγαθοὺς καρποὺς τῇ Ἐκκλησίᾳ. Οἱ Ἱεραπόστολοι εἶχον ἐν αὐτῷ νοήμονα καὶ ἔμπειρον χειραγωγὸν καὶ δεινὸν πρόεδρον ἐν τῇ τῶν ἐρίδων διεξαγωγῇ.

Οὐκ ἔστιν ἐν ἡμῖν καὶ ὁ τοῦ πατρὸς Παύλου ἑταῖρος κατὰ τὴν προεδρείαν ἐν τῇ δευτέρᾳ συνελεύσει· ἐστερήθημεν καὶ τοῦ πατρὸς πρωθιερέως Βασιλείου Νείλσκη. Ἴδρις τοῦ σχίσματος τῆς ἐπαρχίας Πετρουπόλεως ὤν, περὶ πολλοῦ ἐποιεῖτο τὰς προόδους τῶν ἱεραποστολικῶν μόχθων, ἐπιμελῶς συνῆγε νέας εἰδήσεις περὶ τῶν τοῦ σχίσματος, παρηκολούθει τῇ φιλολογίᾳ, καὶ τῷ ἑαυτοῦ ζήλῳ ὑπὲρ τῆς διαδόσεως τῆς ἀληθείας καὶ τῇ ἀφοσιώσει τῇ ἁγίᾳ Ἐκκλησίᾳ μέγα ἴσχυεν ἐπὶ τοὺς σχισματικούς, τοὺς ἡδέως ἐπισκεπτομένους αὐτόν. Ὁ πατὴρ Βασίλειος καὶ ἐν μέσῳ τοῦ θορύβου τοῦ βίου τῆς πρωτευούσης ἐπιμελῶς ἠκροᾶτο τῶν λόγων τῶν ἐν σκότει, τῶν ζητούντων νουθεσίαν καὶ συμβουλὴν παρ' αὐτοῦ. Αὐτὸς λίαν ἐτίμα τὸν πατέρα Παῦλον καὶ περὶ πολλοῦ ἐποιεῖτο τὰς νουθεσίας αὐτοῦ. Οὐχ ὁρῶμεν ἐν μέσῳ τῶν συνελθόντων καὶ τὸν πολὺ μοχθήσαντα ἐν τῇ ἐπαρχίᾳ Βιάτκης σεβαστὸν γέροντα, τὸν πρωθιερέα Στέφανον Κασσμένσκην. Ὁ Κύριος οὐκ ἠξίωσεν αὐτὸν παρεῖναι καὶ ἐν τῇ δευτέρᾳ συνελεύσει· αὐτὸς ἀπέθανεν εὐθὺς μετὰ τὴν πρώτην, ἐν ᾗ δραστηρίως ἐβοήθει τῷ πατρὶ Παύλῳ. Ὁ πατὴρ Στέφανος ἐπὶ μακρὸν ἔσται διὰ μνήμης ἐν τῇ ἐπαρχίᾳ Βιάτκης. Σπουδάζων τὸ ἐπὶ τόπου σχίσμα, αὐτὸς ἐπείσθη, ὅτι διὰ τὸν κατ' αὐτοῦ ἀγῶνα ἔδει ἱδρῦσαι ἀδελφότητα καὶ οὐ μεγάλην ἱεραποστολικὴν Σχολήν, προτιθεμένην παρασκευάζειν πρὸς συνδιάλεξιν μετὰ τῶν σχισματικῶν τοὺς γινώσκοντας γράμματα καὶ εὖ διατεθειμένους τὸ πνεῦμα ἀγρότας, πεμπομένους ἐπὶ ἓν ἔτος εἰς τὴν Σχολὴν ἐκ τῶν μεμολυσμένων τῷ σχίσματι χωρῶν. Ἡ ἀγαθὴ ἐπιχείρησις τοῦ πατρὸς πρωθιερέως εὗρεν ἀντενέργειαν καὶ μὴ συμπάθειαν ἐκ μέρους πολλῶν· ἀλλ' ὁ πατὴρ πρωθιερεὺς ἐπίστευε τῇ ὀρθότητι τοῦ ἔργου αὐτοῦ, καὶ ἐν τῇ πρώτῃ συνελεύσει τῶν ἱεραποστόλων ἔσχε τὴν παραμυθίαν τοῦ πεισθῆναι περὶ τῆς πλήρους συμπαθείας τῇ αὐτοῦ ἐπιχειρήσει τοῦ τε πατρὸς Παύλου καὶ τῶν ἱεραποστόλων. Αὐτὸς μετέστη πρὸς Κύριον, ἀφεὶς τὸ ἔργον αὐτοῦ εὔτακτον καὶ ἐξησφαλισμένον. Αἰωνία εἴη ἡ μνήμη τῶν κεκοιμημένων πατέρων—τοῦ ἀρχιμανδρίτου Παύλου, τῶν πρωθιερέων Βασιλείου καὶ Στεφάνου.

Ἀποδόντες τὴν ὀφειλομένην τιμὴν τοῖς κεκοιμημένοις λυπηθῶμεν, ὅτι οὐκ ἔστιν ἐν μέσῳ ἡμῶν ὁ ἐγγύτατος συνεργάτης τοῦ πατρὸς Παύλου. Οὐκ ἠδυνήθη ἐλθεῖν εἰς Καζάνην ὁ γνωστὸς ἴδρις τοῦ σχίσματος Νικόλαος Ἰβανόβιτς Σουββότην. Ἡ πολυμερὴς γνωριμότης αὐτοῦ μετὰ τῶν παλαιοπίστων, ἡ γνῶσις τῶν αἰτίων τῆς ἐμφανίσεως τοῦ σχίσματος καὶ ἡ ὀρθὴ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατανόησις τοῦ κατ' αὐτοῦ ἀγῶνος—ἅπαν τοῦτο, ὁμοῦ ληφθέν, ἠδύνατο ἐν πολλοῖς διευκολῦναι τὴν διάγνωσιν τῶν τῇ ἀποφάσει τῆς συνελεύσεως ὑποκειμένων ζητημάτων.

Ἀναστήσαντες ἐν τῇ μνήμῃ ἡμῶν τὰς φωτεινὰς εἰκόνας τῶν κεκοιμημένων ἱεραποστόλων, τῶν μοχθησάντων ἐν ταῖς δυσὶ πρώταις συνελεύσεσι, συνδιαλεχθῶμεν περὶ τούτου: οἷος ὀφείλει εἶναι ὁ ἱεραπόστολος, ὁ ἀφιερῶν τὴν ἑαυτοῦ δρᾶσιν τῷ ἀγῶνι κατὰ τῆς αἱρέσεως καὶ τοῦ σχίσματος ἐν Ῥωσσίᾳ. Ὁ λύχνος τῆς εἰς Χριστὸν πίστεως πλέον ἢ ἐννέα αἰῶνας πρότερον ἐφώτισε τὴν Ῥωσσικὴν γῆν, καὶ ὁ λαὸς ὁ Ῥωσσικὸς ἐν ταύτῃ τῇ πίστει εὗρε πηγὴν τῆς ἠθικῆς αὐτοῦ ἰσχύος καὶ τῆς ἱστορικῆς ἀκμῆς. Ἡ ὀρθόδοξος Ἐκκλησία ἀνέθρεψεν ἐν τούτῳ τῷ λαῷ τὰ ἅγια αἰσθήματα τῆς ὑπακοῆς τῷ θελήματι τοῦ Θεοῦ, τῆς ἀγάπης πρὸς τὸν πλησίον, τὴν ἑτοιμότητα τοῦ θυσιάζειν ἑαυτὸν ὑπὲρ τοῦ Θεοῦ, τοῦ Βασιλέως καὶ τῆς πατρίδος. Ἡ ὀρθόδοξος Ἐκκλησία, ἔχουσα διδασκαλίαν, περιέχουσαν ἁπάσας τὰς φυλὰς καὶ τὰ ἔθνη, τὰ μὴ ἐκπεσόντα ἀπὸ τῆς ἑνότητος τῆς πίστεως, οὖσα Ἐκκλησία τῆς οἰκουμένης, ἀεὶ ἦν ἅμα τῇ ἡμετέρᾳ πατρίδι καὶ πηγὴ τῆς ἀρρήκτου ἠθικῆς ἰσχύος αὐτῆς. Διὸ καὶ εὐνόητον, τίνος ἕνεκα κατὰ τῆς Ἐκκλησίας ταύτης οὕτω μανιωδῶς ἐπιπίπτουσιν οἱ οἰκεῖοί τε καὶ οἱ ξένοι ἐχθροί. Τὸ διασεῖσαι καὶ σαλεῦσαι ταύτην τὴν ἔσω ἰσχὺν δηλοῖ ἀσθενέστερον ποιεῖν ἐν τῇ ῥίζῃ καὶ ἐγγίζειν εἰς κατάλυσιν καὶ ἅπαντα τὸν ὀργανισμὸν τῆς ἐπικρατείας. Εἰ οὕτως ἔχει, ὀφθαλμοφανές, οἷα φροντὶς ληπτέα πρὸς διαφύλαξιν ἐν ἀνεπάφῳ τῆς διδασκαλίας τῆς ἁγίας πίστεως, τῆς πεφυλαγμένης ὑπὸ τῆς ὀρθοδόξου Ἐκκλησίας ἐν ἀναλλοιώτῳ καθαρότητι ἀπὸ τῆς θεμελιώσεως αὐτῆς μέχρι τῶν ἡμερῶν ἡμῶν. Μεγάλαι αὗται αἱ φροντίδες, ἐν νῷ τιθεμένου, ὅτι ἐν Ῥωσσίᾳ ὀρθόδοξοι περὶ τὰ 80 μιλιούνια. Ἐν αὐτοῖς εἰσὶ καὶ ἀνεπαρκῶς ἐστηριγμένοι ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως· ἐπ' αὐτούς, τούτους τοὺς ἀσθενεῖς, πρώτιστα ὁρμῶσιν οἱ κήρυκες τῶν πλανῶν. Ἄνθρωποι κατὰ τὸν Ἀπόστολον, «ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν» (Ρωμ. 10, 3), καὶ ταράττουσι τοὺς ἀσθενεῖς ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως.

Ἡ πρώτη φροντὶς τῶν ἱεραποστόλων διευθυντέα πρὸς τὸ βοηθεῖν τοῖς ποιμέσι τῆς Ἐκκλησίας, ἵνα ὀχυρώσωσι τοὺς ὀρθοδόξους ἀπὸ τῆς εἰς αἱρέσεις καὶ σχίσματα ἀποπλανήσεως. Οἱ ἱεραπόστολοι, εὖ εἰδότες τὰς μεθόδους τὰς ἐν χρήσει ὑπὸ τῶν αἱρετικῶν, δύνανται ἀποτρέπειν τὴν ἀποπλάνησιν, ὑποδεικνύντες τὰς αἰτίας καὶ τὰς συνθήκας, τὰς ῥᾳδίαν ποιούσας τὴν δρᾶσιν τῶν ἐχθρῶν τῆς Ἐκκλησίας. Ὁ ἀγὼν ὁ κατὰ τῆς αἱρέσεως καὶ τοῦ σχίσματος οὐ μέλλει φοβεῖσθαι τὸ φῶς. Ἀνάγκη εὖ εἰδέναι τὸν ἀντίπαλον ἐπὶ τῷ διαφυλάξαι τὸ ἑαυτοῦ κτῆμα ἀπὸ διαρπαγῆς. Καὶ ὁ ἱεραπόστολος, ὁ ἔχων καλὴν πεῖραν αὐτοῦ, ὁ εἰδὼς τὴν διδασκαλίαν αὐτοῦ καὶ τὰς μεθόδους τοῦ ἀγῶνος δύναται ἀνεκτιμήτους παρασχεῖν ὑπηρεσίας. Ὁ τῆς παροικίας ἱερεύς, ὁ βεβαρημένος ὑπὸ πληθύος ποικίλων πραγμάτων καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

φροντίδων, οὐκ ἔχει τὸ δυνατὸν παρακολουθῆσαι τῇ διδασκαλίᾳ διαφόρων αἱρετικῶν, δεινουμένων ἐν τῇ μονομερεῖ ἑρμηνείᾳ τῶν οὐκ ὀρθῶς ἐκλεγομένων περικοπῶν τῆς Ἁγίας Γραφῆς. Ἀλλ' ὀλίγον τὸ εἰδέναι τὰς μεθόδους καὶ τὰς συνθήκας τῶν ψευδοδιδασκάλων· ἀναγκαιοῦσιν ἐν τῷ κατ' αὐτῶν ἀγῶνι ἡ ἑνότης τῶν ἐνεργειῶν καὶ ἡ συνάφεια ἐν τῇ ἐκλογῇ τῶν μέσων. Μὴ οὐσῶν τούτων τῶν συνθηκῶν, ἡ τοῦ ἀγῶνος ἐπιτυχία οὐ δύναται εἶναι ἀσφαλής, καὶ πρὸς ἐπίτευξιν τούτου ἀνάγκη τοῖς ἱεραποστόλοις κατὰ καιροὺς συνέλευσιν ποιεῖσθαι. Ἡ μεταξὺ αὐτῶν κοινωνία ἀναγκαιοῖ καὶ πρὸς διασάφησιν τῆς διδασκαλίας τῶν τε προτέρων καὶ τῶν νεωστὶ ἀναφυομένων αἱρέσεων. Οἱ ἐχθροὶ τῆς Ἐκκλησίας πολυάριθμοι· ὁ ἀριθμὸς αὐτῶν αὐξάνει, καὶ αὐταὶ αἱ συνθῆκαι τοῦ βίου τοῦ αἰῶνος ἡμῶν συντελοῦσι πλέον ἢ πρὶν τῇ ταχείᾳ διαδόσει τοῦ κακοῦ. Μέγας ὁ κατάλογος ἐκεῖνος, ὃς ἠδύνατο ἂν χωρῆσαι τὰς πολυποικίλους ἀντιεκκλησιαστικὰς διδασκαλίας, ἀρχόμενος ἀπὸ τοῦ ἀθεϊσμοῦ μέχρις ἀγροίκου φανατικοῦ ἐνθουσιασμοῦ τῶν πλανήτων ἡμῶν. Ἐγγὺς εἰδέναι τὴν ἱστορίαν τοῦ σχίσματος καὶ τῆς αἱρέσεως, ὀξέως παρακολουθεῖν τῇ ἐμφανίσει νέων δοξασιῶν καὶ διδασκαλιῶν, καὶ ἐπίστασθαι ἀνθιστάναι αὐταῖς σταθερὰν καὶ ἀσφαλῆ ἔνστασιν—τοιοῦτο τὸ περαιτέρω ἔργον τοῦ ἱεραποστόλου. Ἀλλὰ πρὸς ἐπιτυχῆ ἐκπλήρωσιν αὐτοῦ ὀφείλει εἶναι ἐν πανοπλίᾳ τῆς γνώσεως τῆς Ἁγίας Γραφῆς, τῶν συγγραμμάτων τῶν ἁγίων Πατέρων καὶ τῆς ἱστορίας τῆς Ἐκκλησίας. Αὐτὸς ὀφείλει οὐ μόνον ἔχειν ταύτας τὰς γνώσεις, ἀλλὰ καὶ τῇ ὀξυνοίᾳ ἐν συνέσει χρῆσθαι αὐταῖς. Αὗται αἱ γνώσεις καὶ αὕτη ἡ σύνεσις πορίζονται τῇ ὁδῷ ἐμμόνου καὶ ἀδιαλείπτου μόχθου.

Πρὸς ἐπιτυχίαν τῆς δράσεως αὐτοῦ ἀναγκαιοῖ ἐφεξῆς τῷ ἱεραποστόλῳ ἔχειν προσοῦσαν ὑψηλὴν διάθεσιν τοῦ πνεύματος, μόνιμον ἑτοιμότητα εἰς αὐτοθυσίαν. Ὁ ἱεραπόστολος ἀεὶ ὀφείλει ἐνθυμεῖσθαι τοὺς λόγους τῆς αἰτήσεως: «μετὰ παῤῥησίας, ἀφόβως, ἀνεπαισχύντως ὁμολογεῖν ἐνώπιον πάντων τὸ ὄνομα Χριστοῦ, τοῦ Θεοῦ ἡμῶν, καὶ τούτου ἕνεκα πάσχειν καὶ ἀποθανεῖν ἀεὶ μετ' ἀγάπης ἐθέλειν». Οὐ δεῖ τοῖς ἱεραποστόλοις συνέχεσθαι περιτταῖς φροντίσι περὶ ὑλικῆς εὐεξίας· δέον διὰ μνήμης ἔχειν τοὺς λόγους Χριστοῦ τοῦ Σωτῆρος, τοῦ ἐντειλαμένου τοῖς Ἀποστόλοις, πορευομένοις εἰς τὸ κήρυγμα, μὴ λαμβάνειν μεθ' ἑαυτῶν μήτε χρυσόν, μήτε ἄργυρον, μήτε χαλκόν. Οἱ ἱεραπόστολοι, οἱ ἀφιερώσαντες ἑαυτοὺς τῷ κηρύγματι τῆς ἀληθείας, ὀφείλουσι διακονεῖν τῇ μιᾷ μόνον ἀληθείᾳ καὶ μὴ δουλεύειν τῷ χρυσῷ μόσχῳ. Ἡ μὲν Ἐκκλησιαστικὴ ἀρχὴ ἐμερίμνα καὶ μεριμνήσει περὶ τῆς ἀνενδεοῦς αὐτῶν ζωῆς καὶ τῆς ἐξασφαλίσεως ἐν ἀσθενείᾳ ἢ γήρατι. Αὐτοὶ δὲ κατὰ τὸν αἰῶνα ἡμῶν τῆς ἐπικρατήσεως τῶν χρηματικῶν ἀγαθῶν, δείξουσι δι' ἑαυτῶν παράδειγμα οἰκοδομητικὸν τῆς ἀφιλοκερδοῦς διακονίας τῷ ὑψίστῳ ἀγαθῷ—τῇ ἀληθείᾳ. Ὁ Ἱεραπόστολος, καὶ δὴ εἰ αὐτὸς πρόσωπον ἱεροῦ ἀξιώματος, ὀφείλει εἶναι παράδειγμα τῆς εἰλικρινοῦς, ἐντελῶς ἀφιλοκερδοῦς διακονίας τῇ ἁγίᾳ Ἐκκλησίᾳ, εἶναι ποιμὴν ἕτοιμος θεῖναι τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων αὐτοῦ. Καὶ ἐπέστη νῦν ὁ καιρὸς ὁ προῤῥηθεὶς ὑπὸ τοῦ Ἀποστόλου, «ὅτε τῆς ὑγιαινούσης διδασκαλίας

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν· καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται» (2 Τιμοθ. 4, 3, 4).

Μόνον ὁ ἀφωσιωμένος τῷ ἔργῳ αὐτοῦ δύναται ἐπιτυχῶς νουθετεῖν τοὺς πλανηθέντας καὶ στηρίζειν ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς πίστεως. Ὁ ἀληθὴς ἱεραπόστολος βεβαίως μέμνηται τῶν λόγων τῆς πρώτης καθολικῆς ἐπιστολῆς τοῦ ἁγίου ἀποστόλου Ἰωάννου τοῦ Θεολόγου, ὅτι «ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν μένει ἐν τῷ θανατῳ»..... «μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ»· «μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμὰ τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα» (1 Ἰωανν. 3, 14, 18. 3 Ἰωανν. 1, 4). Ὁ καλὸς ἱεραπόστολος γινώσκει, ὅτι οὐδὲν ἰσχύει χωρίσαι αὐτὸν ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ. Καὶ πιστὸς ταύτῃ τῇ διδασκαλίᾳ ὢν, αὐτὸς ὀφείλει ἀεὶ παρέχειν παράδειγμα ἀνυποκρίτου ἀγάπης οὐ μόνον πρὸς τοὺς οἰκείους τῇ πίστει, ἀλλὰ καὶ πρὸς πάντας τοὺς ἐρωτῶντας αὐτὸν περὶ τῆς ὀρθῆς διδασκαλίας. Τίνα δὲ μέσα κέκτηται ὁ ἱεραπόστολος πρὸς τὸ πολύμοχθον ἔργον αὐτοῦ; Πρώτιστα ὀφείλει ἐν προσευχῇ ἀρύσασθαι τὴν δύναμιν τῆς χάριτος πρὸς τὸ κήρυγμα τοῦ λόγου τῆς ἀληθείας. Αὐτὸς ὀφείλει, εἴπερ τις καὶ ἄλλος, ἐνθυμεῖσθαι, ὅτι «οὐκ ἔστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ» (Ρωμ. 14, 17). «Οὐ θήσει πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον»· «μηδὲ τῷ βρώματι αὐτοῦ ἐκεῖνον ἀπολέσει, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε» (Αὐτόθι στιχ. 14, 13, 15). Ὁ ἱεραπόστολος ἀναμιμνησκόμενος τῆς νουθεσίας τοῦ ἀποστόλου Παύλου, ὀφείλει ἐν παντὶ παρέχειν ἑαυτὸν πρότυπον τῶν καλῶν ἔργων. Τὸν λόγον τοῦ ἱεραποστόλου δεῖ εἶναι λόγον ὑγιᾶ, ἀνεπίληπτον. Ὁ ἱεραπόστολος οὐκ ὀφείλει ζῆν ἐν κακίᾳ καὶ φθόνῳ· οὐδένα ὀφείλει κακολογεῖν, εἶναι οὐ φιλόνεικον, ἀλλ' ἥσυχον, καὶ δεικνύναι πᾶσαν ἐπιείκειαν πρὸς πάντας. Αὐτὸς ὀφείλει ἐκκλίνειν ἀπὸ τῶν ἀγροίκων καὶ σκαιῶν ερίδων· αὗται γὰρ τίκτουσι διαστάσεις. Ὁ τοῦ Κυρίου δοῦλος οὐκ ὀφείλει ἐρίζειν, ἀλλ' εἶναι φιλόφρων πᾶσι, διδακτικὸς, ἄκακος, μετὰ πραότητος νουθετεῖν τοὺς ἐναντίους, ἐλπίζων, ὅτι ὁ Κύριος δώσει αὐτοῖς μετάνοιαν πρὸς γνῶσιν τῆς ἀληθείας. Αἱ συμβουλαὶ αὗται δύνανται ἰδίως ὠφελεῖν ἐν ταῖς διαλέξεσι μετὰ τῶν αἱρετικῶν καὶ σχισματικῶν. Αἱ διαλέξεις αὗται παρίστανται νῦν ὡς ἓν τῶν τὰ μάλιστα ἐπιτηδείων μέσων πρὸς σωφρονισμὸν τῶν πλανωμένων. Πρὸς ἐπιτυχίαν τῆς διαλέξεως ἀνάγκη, ὅπως ὁ ἱεραπόστολος ἐμφορῆται τοῦ πνεύματος τῆς τοῦ Χριστοῦ ἀγάπης καὶ τοῦ πόθου σῶσαι τοὺς ἀπολλυμένους. Ὀφείλει ἐπίστασθαι χρῆσθαι τοῖς θησαυροῖς, τοῖς περιεχομένοις ὑπὸ τῆς Ἁγίας Γραφῆς, εἶναι πλούσιος τῇ ὑπομονῇ, ζητεῖν μόνον τὸν θρίαμβον τής ἀληθείας καὶ μὴ σκέπτεσθαι περὶ προσωπικῆς προόδου. Τῇ ἡσυχίᾳ καὶ τῇ εἰρηνικῇ διαθέσει τοῦ πνεύματος ὀφείλει ἀποκαλύπτειν τὴν ἀληθῆ διδασκαλίαν περὶ πίστεως. Αἱ ὁμιλίαι αἱ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γινόμεναι ἐν πνεύματι πρᾳότητος, ἀποβαίνουσιν ἄγαν ἐπωφελεῖς καὶ πρὸς στηριγμὸν τῶν ὀρθοδόξων ἀκροατῶν ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως. Αὗται ἀναπτύσσουσι τὴν ἀγάπην πρὸς μελέτην θρησκευτικῶν ζητημάτων καὶ πρὸς ἀνάγνωσιν θεολογικῶν βιβλίων. Πλὴν τῶν ὁμιλιῶν μέγα ὠφελοῦσιν αἱ ὑπὸ τῶν ἱεραποστόλων ἐπισκέψεις τῶν μεμολυσμένων τῇ ψευδοδιδασκαλίᾳ τόπων. Ὁ ἀφωσιωμένος τῷ ἔργῳ αὐτοῦ ἱεραπόστολος, ἀφικόμενος εἰς τοιοῦτον τόπον, κατὰ συμφωνίαν μετὰ τοῦ ἱερέως τῆς παροικίας ζητήσει καιρὸν ὁμιλίας μετὰ τῶν γράμματα εἰδότων, ἢ τὰ μάλιστα διακρινομένων ἐκ τῶν σχισματικῶν ἢ αἱρετικῶν. Ἡ μετὰ πειθοῦς ὁμιλία τοῦ ἐπήλυδος εὐαγγελιστοῦ, ἡ πρώτιστα τείνουσα πρὸς ἀποκάλυψιν τῆς θετικῆς διδασκαλίας περὶ τῆς ἁγίας πίστεως, ἡ ἥσυχος κρίσις περὶ τῆς μὴ ὀρθότητος τῶν ἐκπεσόντων ἀπὸ τῆς ἑνότητος τῆς Ἐκκλησίας, δύνανται ἐμβάλλειν σπέρματα τῆς χάριτος τῇ ψυχῇ τοῦ συνδιαλεγομένου. Ὁ φιλόστοργος λόγος τοῦ ἱεραποστόλου, ἡ ἀπουσία τοῦ ἐξουσιαστικοῦ, ἡγεμονικοῦ τόνου, ἢ τῆς φιλοπράγμονος φιλονεικίας δύνανται ὠφελεῖν τὸν συνδιαλεγόμενον καὶ κατευθύνειν τὸν νοῦν αὐτοῦ εἰς γνῶσιν τῆς ἀληθείας. Ἐν τῇ ἱστορίᾳ τῆς ἱεραποστολῆς ἡμῶν αἱ ὁδοιπορίαι τοῦ πατρὸς Παύλου καί τινων παρόντων ἐνταῦθα ἱεραποστόλων προὐκάλεσαν εἰς ζωὴν νέας παροικίας καὶ συνετέλεσαν τῇ ἑνώσει τῇ ἁγίᾳ Ἐκκλησίᾳ πολλῶν χιλιάδων σχισματικῶν. Τὸ ὄφελος τῆς ὑπὸ τῶν ἱεραποστόλων ἐπισκέψεως τῶν χωρῶν καὶ τῶν κωμῶν, τῶν μεμολυσμένων τῇ αἱρέσει καὶ τῷ σχίσματι, καταφανὲς ἐντεῦθεν, ὅτι οἱ ἐκπεσόντες τῆς Ἐκκλησίας πολλάκις ζῶσιν ἔγκλειστοι καὶ δύνανται μὴ ἀκοῦσαι τῆς ἀληθείας, ἂν ὁ ἄγγελος αὐτῆς μὴ ἔλθῃ πρὸς αὐτούς. Μέγα ὠφελοῦσι τὸ ἔργον τῆς ἱεραποστολῆς αἱ Ἐκκλησιαστικαὶ Σχολαί. Ἡ χειραγωγὸς σημασία, ἡ ἐν ταύταις ταῖς Σχολαῖς ἀποδιδομένη τῇ ἐκμαθήσει τοῦ Νόμου τοῦ Θεοῦ, διατίθησι τοὺς παλαιοπίστους πρὸς αὐτάς. Αὐτοὶ παρηγοροῦνται τούτῳ, ὅτι οἱ παῖδες αὐτῶν γίνονται ἔμπειροι τῆς Θείας Γραφῆς, οἱ δὲ παῖδες γνωρίζουσι τῷ οἴκῳ τὴν διδασκαλίαν τῆς Ἐκκλησίας καὶ μαλάσσουσι τὴν πολεμικὴν πρὸς αὐτὴν σχέσιν τῶν γονέων. Ἔχομεν πολλὰ παρήγορα παραδείγματα, εὐεπῶς δεικνύντα, πόσον ἡ εὖ κατηρτισμένη Ἐκκλησιαστικὴ Σχολὴ συνετέλει τῇ μαλάξει καὶ δὴ τῇ ἐκριζώσει τῆς ἔχθρας τῶν σχισματικῶν πρὸς τὴν Ἐκκλησίαν. Οἱ γονεῖς διὰ τῶν παίδων ἐγίνωσκον τὴν δύναμιν τῆς ἀγάπης, τῆς προσούσης τῇ Ἐκκλησίᾳ καὶ πρὸς τοὺς ἀπ' αὐτῆς ἀποχωρισθέντας. Οἱ παῖδες ἐν τοῖς οἴκοις τῶν ἄνευ ἱερέων ἐτάραττον τοὺς γονεῖς ταῖς ἐρωτήσεσι περὶ τούτου, πῶς ἔστι κληρονομεῖν ζωὴν αἰώνιον μὴ μετέχοντας τῆς τραπέζης τοῦ Κυρίου. Ἐστηριγμένοι ἐν τῇ ὀρθῇ διδασκαλίᾳ, αὐτοὶ οὐ μόνον ἀπώλλυον ἐν τῇ Σχολῇ τὸν φανατισμὸν, ἀλλὰ καὶ προπαρεσκευάζοντο εἰς πλήρη ἕνωσιν μετὰ τῆς Ἐκκλησίας. Αὕτη ἡ σημασία τῆς Σχολῆς ἰδίᾳ δυνάμει ἐφάνη πρὸς τὰς ἐν αὐταῖς διδασκομένας μαθητρίας. Ἐγγραφόμεναι εἰς τὴν Σχολήν, αὗται ἀπεξενοῦντο τῆς ὁμιλίας μετὰ τῶν ἄλλων παιδίων, μὴ βουλόμεναι βεβηλοῦν ἑαυτὰς τῇ πόσει τοῦ ὕδατος ἐκ κοινῆς ἀρυταίνης, ἔτρεχον εἰς τὸν ποτα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μίσκον καὶ ταῖς χερσὶν ἤντλουν ὕδωρ. Ἡ καλὴ δύναμις τῆς Σχολῆς λάθρα ἐμάλασσεν αὐτῶν τὰς καρδίας. Ἡ προσευκτικὴ διάθεσις τοῦ πνεύματος εἵλκυσε τῷ ζωοποιῷ κύματι καὶ αὐτὰς εἰς τὸν ναὸν τοῦ Θεοῦ. Διαιθριασθεῖσαι τῇ ὀρθῇ διδασκαλίᾳ, εἰ καὶ μὴ πᾶσαι, αὐταὶ ἑνωθήσονται τῇ Ἐκκλησίᾳ, ἀποφοιτῶσαι ἐκ τῆς Σχολῆς ἀναμφιλέκτως οὐ μέλλουσι φέρεσθαι πρὸς τοὺς ὀρθοδόξους μετὰ τῆς ἐχθρικῆς περιφρονήσεως, τῆς προσούσης τοῖς ἀρχαίοις σχισματικοῖς. Ἄρα ἡ Σχολή, στηρίζουσα τὴν εἰρήνην καὶ τὴν συμφωνίαν ἐν ἀνθρώποις, ἐφάνη κατὰ τὸν τελευταῖον χρόνον ἐπωφελὴς συνεργάτις τῆς ἱεραποστολῆς. Μέγα ὠφελοῦσι τέλος τῷ ἔργῳ τῆς ἱεραποστολῆς αἱ διάφοροι ἐκδόσεις, αἷς ἐπιχειροῦσιν ἐν εἴδει κεχωρισμένων βιβλίων, φυλλαδίων, ἄρθρων καὶ περιοδικῶν, ἀφιερωμένων τῇ μελέτῃ τῶν ζητημάτων τῶν ἀφορώντων τὴν ἱεραποστολήν. Κατὰ τὸν ἐνεστῶτα χρόνον οἱ τῆς Ἐκκλησίας ἐχθροὶ καὶ παντοῖοι αἱρετικοὶ ἀσκοῦνται περὶ τὴν τύπωσιν, πώλησιν ἀντὶ εὐτελῶν τιμῶν καὶ δωρεὰν διανομὴν παντοίων βιβλίων, φυλλαδίων καὶ φύλλων, διαδιδόντων ἐννοίας ψευδεῖς καὶ κρίσεις ἀτόπους περὶ τῆς Ἐκκλησίας, τοῦ κοινοῦ καλοῦ, τῆς ἀγωγῆς καὶ τῆς μεταρρυθμίσεως τοῦ κοινωνικοῦ καὶ πολιτικοῦ βίου. Ὀφθαλμοφανές, ὅτι διὰ τὸν ἀγῶνα κατὰ τούτου τοῦ κακοῦ ἀνάγκη μετ' ἀκαμάτου καρτερίας τυποῦν καὶ διαδιδόναι ἐν τῷ λαῷ ἐκδόσεις, ἀνακοινουμένας ὀρθὰς ἐννοίας περὶ τῆς Ἐκκλησίας, τοῦ κράτους, περὶ τῆς Χριστιανικῆς ἠθικῆς, περὶ τοῦ ψεύδους καὶ τῶν πλανῶν τῶν αἱρετικῶν καὶ σχισματικῶν. Ἀνάγκη παρέχειν τῷ λαῷ ὑγιᾶ καὶ καλὴν πνευματικὴν τροφήν, δυναμένην συντελεῖν τῇ πνευματικῇ αὐτοῦ ἐπιδόσει. Τὰ διὰ τὸν λαὸν βιβλία γραπτέον γλώσσῃ ἁπλῇ καὶ σαφεῖ, ἄνευ τεχνητῶν παραποιήσεων εἰς δημώδη διάλεκτον. Ἡ εἰλικρινὴς πεποίθησις τοῦ γράφοντος καὶ ἡ ἁπλότης τῆς ἐκθέσεως ποιήσουσι τὸ βιβλίον προσφιλὲς τῷ ἀναγνώστῃ. Οὐκ ἔστι μὴ χαίρειν, ὅτι ἐν τῷ τελευταίῳ χρόνῳ ἐπλουτήσαμεν ὁλοκλήρῳ σειρᾷ ἐκδόσεων, χρησίμων τῷ λαῷ ἱεραποστολικῶς. Μνημονεύσομεν ἐνταῦθα: «Ἀδελφικὸν Λόγον», «Τῆς Λαύρας τῆς Ἁγίας Τριάδος φύλλα» καὶ τὰ βιβλιάρια, τοῦ Κιέβου «Ἱεραποστολικὴν Ἐπιθεώρησιν», τῆς Μόσχας «Ὀρθόδοξον Εὐαγγελιστὴν» καὶ τῆς Ριαζάνης «Ἱεραποστολικὴν συλλογην». Πάσαις ταύταις ταῖς ἐκδόσεσιν, ὡς καὶ τοῖς βιβλίοις, τοῖς ἀφιερωμένοις τῇ ἐκμαθήσει τῶν διαφόρων πλευρῶν τῆς ἱεραποστολικῆς δράσεως, εὐχηθῶμεν ταχεῖαν διάδοσιν. Οἱ τῶν παροικιῶν ἱερεῖς ἐν τούτῳ δύνανται παρασχεῖν μεγάλην βοήθειαν· παρακολουθοῦντες ταῖς διαφόροις ἐκδόσεσιν, αὐτοὶ δύνανται αὐτὰς γνωρίσαι καὶ τοῖς πνευματικοῖς αὐτῶν τέκνοις.

Τοιοῦτοι καθόλου οἱ τρόποι, οὓς νῦν ἡ ἱεραποστολὴ διατίθησι διὰ τὸν ἀγῶνα κατὰ τῆς αἱρέσεως καὶ τοῦ σχίσματος. Ἐλπίσωμεν, ὅτι ὁ Κύριος στέψει ἀγαθαῖς ἐπιτυχίαις τοὺς μετ' αὐταπαρνήσεως μόχθους τῶν εὐαγγελιστῶν τοῦ Χριστοῦ, ὅτι τὸ φῶς τῆς ὀρθῆς τοῦ Εὐαγγελίου διδασκαλίας διασκεδάσει τὸ σκότος τῶν αὐθαιρέτων ἀνθρωπίνων ἐπινοιῶν, ὅτι ἡ Ἐκκλησία πασῶν ῶν Ῥωσσιῶν ἐν συνδέσμῳ μετὰ τῶν ἄλλων Ἐκκλησιῶν



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τοῦ Θεοῦ μέλλει φανερὰν ποιεῖν τὴν σωτηριώδη ἐνέργειαν τῆς καθαρᾶς, ἀπημάντου διδασκαλίας ἐπ' ἀγαθῷ ἁπάσης τῆς ἀνθρωπότητος, πρὸς παραμυθίαν τοῦ Κραταιοῦ Πατρὸς τῆς πατρίδος καὶ πρὸς δόξαν τοῦ μεγάλου ἔθνους τῆς Ῥωσσίας. (См. Прибавл. къ Церков. Вѣдом. за 1897 г. № 31. Стран. 1708—1804).

# XIV.

## ΛΟΓΟΣ

### ἐπὶ τῷ τέλει τῶν ἐν τῇ Ἐκκλησιαστικῇ Ἀκαδημίᾳ Πετρουπόλεως θερινῶν παιδαγωγικῶν μαθημάτων διὰ τοὺς καὶ τὰς διδασκάλους τῶν ἐκ δύο Τάξεων Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν, τὴν 7 Αὐγούστου 1897 ἔτους.

Ἔντιμοι ἀκροαταὶ καὶ ἀκροώμεναι τῶν παιδαγωγικῶν μαθημάτων!

Πρὸ ἓξ ἑβδομάδων πρὸ τῆς ἀρχῆς τῶν ἀσχολιῶν ὑμῶν συνήχθημεν σὺν ὑμῖν ἐν ταύτῃ τῇ αἰθούσῃ τῶν πανηγυρικῶν συνεδριάσεων τῆς Ἐκκλησιαστικῆς Ἀκαδημίας τῆς Πετρουπόλεως, τῆς εὐρέως ἀνοιξάσης ὑμῖν τὰς θύρας αὐτῆς, καὶ νῦν συνήλθομεν ἐνταῦθα πρὸς ἐξιτήριον ὁμιλίαν. Ἓξ ἑβδομάδας ὑμεῖς διήλθετε ἐν ἐπιμελεῖ ἐργασίᾳ καθ' ἁπάσας τὰς ἡμέρας. Οἱ ἐν πείρᾳ τῶν παιδαγωγικῶν μαθημάτων γενόμενοι πάντες ὁμοθύμως μαρτυροῦσιν, ὅτι ὑμεῖς ἐξεδηλώσατε ζῶσαν φιλομάθειαν, εἰργάζεσθε, μὴ φροντίζοντες περὶ κοπώσεως, καὶ ἐχρῆσθε παντὶ καιρῷ πρὸς κτῆσιν ἐπωφελῶν ὑμῖν γνώσεων. Ἠμνημονήσατε τοῦ βάρους τῶν κόπων, οὓς ὑμεῖς κατὰ τοὺς χειμερινοὺς μῆνας ὑπέστητε, ἐπελάθεσθε τοῦ καμάτου τῆς μακρᾶς ὁδοῦ, ἐνεψύχου ὑμᾶς εἷς καὶ μόνος πόθος—ὡς δυνατὸν πλέον πλουτῖσαι ἑαυτοὺς ταῖς ἐπωφελέσι γνώσεσιν ἐν ἅπασι τοῖς κλάδοις τῶν παραδιδομένων ὑμῖν ἐπιστημῶν. Ἡ αὐτὴ διάθεσις τοῦ πνεύματος τῶν ἀκροατῶν καὶ ἀκροατριῶν ἐξεδηλώθη ἐν Μόσχᾳ, Καζάνῃ, Πέρμῃ, Κούρσκῃ, Χαρκόβῳ, Κιέβῳ καὶ Ὀδησσῷ. Ἐξ ὅλων τούτων τῶν πόλεων ἤρχοντο εὐαγγελίαι περὶ τῶν ἀκαμάτων μόχθων τῶν συναχθέντων εἰς τὰ παιδαγωγικὰ μαθήματα. Ἀνὰ πέντε, καὶ δὴ ἓξ μαθήματα ἔχοντες τὴν ἡμέραν, καὶ ταύτην καυματώδη θερινήν, συμψάλλοντες μετὰ τὸ γεῦμα καὶ μελετῶντες καθ' ἑσπέρας,—ἰδοὺ πῶς διήρχοντο τὸν χρόνον τῆς συνήθους θερινῆς ἀναπαύσεως οἱ συναχθέντες ἐξ ὅλων τῶν περάτων τῆς ῥωσσικῆς γῆς διδάσκαλοι καὶ διδασκάλισσαι τῶν ἐκ δύο Τάξεων Σχολῶν. Δι' ἅπαντας ἡμᾶς, μετ' ἀγάπης παρακολουθήσαντας ταύταις ταῖς ἀσχολίαις ἰδίᾳ πολλοῦ ἄξιος ὁ ἧσυχος καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εἰρηνικὸς αὐτῶν ῥοῦς. Οἱ ἐπιστατήσαντες τῶν παιδαγωγικῶν μαθημάτων ἀποδιδόασι τιμὴν τῇ αὐστηρᾷ ἀγωγῇ καὶ τῇ ἄκρᾳ πειθαρχίᾳ τῶν σεμνῶν ἐργατῶν καὶ ἐργατίδων καθ' ἅπαντα τὸν χρόνον τῶν συνηνωμένων ἀσχολιῶν αὐτῶν ἐν τοῖς παιδαγωγικοῖς μαθήμασιν. Αὕτη ἡ συγκέντρωσις ἐν τῇ ἐργασίᾳ καὶ ἡ ἱκανότης ὑποτάσσειν ἑαυτὸν τῇ ἀναγκαστικῇ διὰ πάντας διατάξει μαρτυροῦσι περὶ τῆς ὀρθῆς κατανοήσεως ὑπὸ τῶν συναχθέντων εἰς τὰ παιδαγωγικὰ μαθήματα τῆς ὑψηλῆς σημασίας τοῦ διδασκαλικοῦ αὐτῶν ἔργου.

Ἀποχωριζόμενοι ἀφ' ὑμῶν, διαλεχθῶμεν περὶ ἐκείνου, ὅπερ ἰδίᾳ πολλοῦ ἄξιον ἡμῖν, τοῦτ' ἔστι περὶ τῆς Σχολῆς τῆς Ἐκκλησιαστικῆς παροικίας. Ἡ Σχολὴ αὕτη, παρέχουσα τοῖς μαθηταῖς προκαταρκτικὴν μάθησιν, παιδαγωγεῖ αὐτοὺς ἐν τῷ ἀσφαλεῖ καὶ ἀσαλεύτῳ θεμελίῳ τοῦ ὀρθοδόξου δόγματος. Μὴ περιορίζουσα τὰ ἔργα αὐτῆς ἐν μιᾷ μόνον μηχανικῇ μαθήσει τῆς ἀναγνώσεως καὶ τῆς γραφῆς, αὐτὴ τείνει σχεῖν δύναμιν πρὸς τὸν ἔσω ψυχικὸν κόσμον τοῦ παιδίου, καὶ παιδαγωγῆσαι ἐξ αὐτοῦ καλὸν χριστιανόν. Ἡ Σχολὴ ἡ Ἐκκλησιαστικὴ δίδωσι, κατὰ τὰς περιστάσεις τοῦ χρόνου καὶ τοῦ τόπου, τόπον τῇ ἐκμαθήσει διαφόρων προσθέτων καὶ πλαγίων γνώσεων, ἐὰν μόνον αἱ ἀσχολίαι περὶ ταῦτα μὴ ἀπᾴδωσι ταῖς ἀρχαῖς, αἳ τέθεινται βάσις αὐτῆς. Τοῦτο τὸ ἀμετάτρεπτον τῶν χειραγωγουσῶν ἰδεῶν κέκτηται ἰδίαν ἀξίαν διὰ τὴν προκαταρκτικὴν Σχολήν. Ἀσάλευτοι αἱ ἀντηρίδες τῆς χριστιανικῆς ἠθικῆς, καὶ ἡ Σχολὴ ἡ Ἐκκλησιαστικὴ καὶ νῦν καὶ ἀεὶ μέλλει ἀρύεσθαι χειραγωγοὺς κανόνας ἐκ τῆς εὐαγγελικῆς διδασκαλίας, τῆς μόνης καθαρᾶς πηγῆς τῆς ἀληθείας καὶ πάσης δικαιοσύνης. Μακρὰν ἀφ' ἡμῶν οἱ κίνδυνοι, οἱ κυμαίνοντες ἐν τῷ τῆς Σχολῆς ἔργῳ τοὺς νόας ἐν τῇ Δύσει. Ἡ Ἐκκλησιαστικὴ Σχολὴ ἐν Ῥωσσίᾳ καλεῖται διακονεῖν ἑνὶ μόνῳ φωτισμῷ τοῦ λαοῦ, καὶ οὐ παρίσταται ὡς ἀφορμὴ πρὸς ἐπιτυχίαν φιλαρχικῶν σκοπῶν τοῦ κλήρου. Ὁ Λατινικὸς κόσμος ἡγεῖται τὴν Σχολὴν μίαν τῶν τὰ μάλιστα ἰσχυρῶν ἀφορμῶν πρὸς ὑποταγὴν πλήθους λαοῦ τῇ παπικῇ ἰδέᾳ. Τῇ δημοσίᾳ Σχολῇ ὀρέγουσι τὰς χεῖρας ἐν τῇ Δύσει καὶ οἱ ἀρχηγοὶ τῶν διαφόρων πολιτικῶν κομμάτων· κρατῆσαι αὐτῆς βούλονται καὶ οἱ κοινωνισταί. Πάντες αὐτοὶ πειρῶνται εἰσενεγκεῖν εἰς τὴν στοιχειώδη μάθησιν τὰς ἀγαπητὰς ἑαυτῶν διδασκαλίας, ἐμφυτεύοντες τῇ Σχολῇ τὴν μονομέρειαν τῶν κομματικῶν θεωριῶν. Οὐ τοιαύτη ἡ Ἐκκλησιαστικὴ Σχολὴ ἡμῶν: ἡ κλῆσις αὐτῆς—διδάσκειν τοὺς παῖδας καὶ ἄγειν εἰς ζωὴν τὰς ἀρχὰς τῆς χριστιανικῆς περὶ πίστεως διδασκαλίας, τῆς μὴ πεφυρμένης ἀνθρωπίνοις πάθεσιν. Ἡ τοιαύτη Σχολὴ οὐ δύναται μὴ συντελεῖν τῇ ὑψώσει τῆς ἠθικῆς στάθμης τοῦ λαοῦ. Ὀρθῶς νοοῦντες τὴν ἀξίαν τῆς Ἐκκλησιαστικῆς ἡμῶν Σχολῆς, πάντες ἡμεῖς εὐτυχεῖς, ὅτι δυνάμεθα ἐργασθῆναι δι' αὐτήν, πάντες ἡμεῖς ἀγαπῶμεν αὐτήν. Καὶ πῶς μὴ ἀγαπητέον τὴν Σχολήν, τὴν κεκλημένην ἀγαγεῖν ὁλοκλήρους γενεὰς εἰς τὸ αἰώνιον φῶς; Ἀγαπῶντες δὲ ταύτην τὴν Σχολήν, οὐ δυνάμεθα μὴ πεποιθέναι ἐπὶ τὴν πρόοδον αὐτῆς. Αὕτη ἡ πεποίθησις ἐνισχύσει ὑμᾶς κατ' ἐκείνας τὰς ἡμέρας, ὅτε ἀσθε-



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νήσετε ἐκ τῶν χαλεπῶν ἐργασιῶν ἢ ἐκ τῶν πιεζουσῶν ὑμᾶς ἐξετάσεων. Πεποίθατε ἐπὶ τὸν θρίαμβον τῶν ἰδεῶν, τῶν ἀποδεδεγμένων ὑπὸ τῆς Ἐκκλησιαστικῆς Σχολῆς. Πρὸ δέκα καὶ τριῶν ἐτῶν, ὅτε ἡ Ἐκκλησιαστικὴ Σχολή, ἐξ ἀρχῆς ἀπὸ τῆς εἰσαγωγῆς τοῦ Χριστιανισμοῦ ἐν Ῥωσσίᾳ ὑφισταμένη, ἤρξατο ἔμπεδα διοργανουμένη, παρὰ τῇ Ἁγιωτάτῃ Συνόδῳ τὸ ὅλον διὰ τὰς ἀνάγκας πασῶν τῶν Σχολῶν ἦσαν μόνον 55,000 ρούβλια. Νῦν δὲ μετὰ παρέλευσιν 13 ἐτῶν δαπανῶνται ἐκ τῶν χρημάτων τοῦ Ταμείου τοῦ Κράτους 4.953,841 ρούβλ., καὶ ἐκ τῶν ποσῶν τοῦ φόρου διὰ τὰς γαίας ἐν τοῖς κυβερνείοις, ὅπου οὐκ εἰσήχθη ἡ ἀρχὴ ἡ ἐπὶ τῶν γαιῶν—602,175 ρούβλ. Τὸ ὅλον δὲ 5.556,016 ρούβλια. Ὁ ἀριθμὸς πασῶν τῶν Σχολῶν ηὔξησε μέχρι 34,000 μετὰ 1.092,000 διδασκομένων. Ἀπὸ τοῦ 1895 μέχρι 1 Αὐγούστου 1897 ἔτους ὑπὸ τοῦ Συμβουλίου τῶν Σχολῶν ἀπεστάλησαν ταῖς Σχολαῖς 8.370,290 βιβλία ἀξίας 1.386,137 ρουβλίων.

Ταῦτα τὰ δεδομένα εὐγλώττως μαρτυροῦσι περὶ τῆς ἀσυνήθως ταχείας αὐξήσεως τῆς Ἐκκλησιαστικῆς Σχολῆς καὶ πληροῦσι τὰς καρδίας ἡμῶν βαθείας εὐγνωμοσύνης πρὸς τὸν ἄληστον Μονάρχην, τὸν ἐν Θεῷ ἀναπαυόμενον Αὐθέντην Αὐτοκράτορα Ἀλέξανδρον Γ.' καὶ πρὸς τὸν Στεφηφόρον Υἱὸν Αὐτοῦ, τὸν ἀγαπητὸν ἡμῶν Βασιλέα ἐπὶ τῇ πατρικῇ αὐτῶν προνοίᾳ περὶ τῆς προόδου τῆς δημοσίου ἐκπαιδεύσεως, τούτου τοῦ ἐνεχύρου τοῦ μεγαλείου καὶ τῆς δόξης τῆς Ῥωσσίας.

Πολλὰ ἐτελέσθησαν διὰ τὴν Σχολὴν ἡμῶν, ἀλλὰ μεγάλη καὶ ἐπίπονος πρόκειται ἔτι ἐργασία. Γινώσκομεν ἡμεῖς καὶ τὴν ἀσθένειαν ἡμῶν, οἴδαμεν καὶ τὴν ἔνδειαν, ἀλλὰ πεποίθαμεν ἐπὶ τὴν πρόοδον τοῦ ἁγίου ἔργου. Καὶ ἡ ἐνέργεια τρέφει ταύτην τὴν ἐλπίδα. Καὶ ἐν τοῖς ἐγγὺς καὶ ἐν τοῖς μακρὰν χωρίοις καὶ κώμαις ἐν παντὶ τόπῳ ἱδρύονται νέαι Σχολαί, ἀκρατήτῳ κύματι ὁρμῶσιν εἰς αὐτὰς οἱ παῖδες τοῦ λαοῦ. Ἑκατοντάδες ἀνθρώπων αὐταπαρνήσεως ἀνιδιοτελῶς ἀφιεροῦσιν ἑαυτοὺς τῷ μεγάλῳ ἔργῳ τοῦ φωτισμοῦ. Ἄφθονοι ἔρανοι δίδονται ὑπὸ καλῶν ἀνθρώπων πρὸς σύστασιν καὶ συντήρησιν Σχολῶν. Ὡς τὸ φῶς τοῦ ἡλίου, ταῖς ζωτικαῖς ἀκτῖσι διαχεόμενον ἐπὶ τῆς γῆς, περιβάλλει αὐτὴν τῷ ποικίλῳ κοσμήματι τῶν ὡραίων χρωμάτων, οὕτω καὶ τὸ φῶς τῆς διδασκαλίας τῆς Σχολῆς καλεῖ εἰς ὕπαρξιν νέας δυνάμεις καὶ χαρίσματα. Ἐν τῇ λόχμῃ τοῦ κυβερνείου τῆς Σμολένσκης γινώσκομεν μίαν Σχολήν, ἧς ὁ καλὸς διδάσκαλος, ἐξετάζων τὰς ἱκανότητας τῶν μαθητῶν, ἠδυνήθη εὑρεῖν ἐν αὐτοῖς ὁλόκληρον τάξιν ἀνθρώπων, πλουσίως δεδωρημένων ὑπὸ τῆς φύσεως. Καὶ ἐξῆλθον ἐκ ταύτης τῆς Σχολῆς ὀτρηροὶ θεράποντες τῆς ἁγίας Ἐκκλησίας, εὐφυὴς ζωγράφος καὶ πολλοὶ καλοὶ διδάσκαλοι. Ἄνευ τῆς Σχολῆς αὗται αἱ δυνάμεις ὑπελείφθησαν ἂν ἄγνωστοι. Καὶ ὅσῳ μᾶλλον μέλλουσι πληθύνεσθαι αἱ Σχολαὶ ἐν Ῥωσσίᾳ, τόσῳ μᾶλλον μέλλει αὐξάνειν καὶ ὁ ἀριθμὸς τῶν εὐφυῶν, τῶν ἱκανῶν τῇ ἑαυτῶν ἐργασίᾳ καὶ ταῖς γνώσεσι συνεργεῖν τῇ προόδῳ τῆς γενετείρας. Κατὰ τὸν αἰῶνα ἡμῶν πᾶς λαὸς ἰσχυρὸς τῇ ἀκμῇ τῆς ἐργασίας αὐτοῦ, καὶ ἡ Σχολή, ἡ πλάττουσα ὕτην τὴν ἀκμήν, νῦν ἐκλήθη, εἴπερ ποτέ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κεκτῆσθαι ὁριστικὴν σημασίαν ἐν τῇ ἱστορικῇ τύχῃ τῶν ἐθνῶν καὶ τῶν κρατῶν.

Δεῖ εἶναι μίαν τῶν πρώτων φροντίδων τοῦ κράτους τὴν κανονικὴν διοργάνωσιν τῆς Σχολῆς, τῆς παιδαγωγούσης τοὺς μέλλοντας πολίτας ἐν ἐκείναις ταῖς ἀρχαῖς, αἵτινες δύνανται συντελεῖν τῇ ὡς δυνατὸν πλήρει ἀναπτύξει τῆς ἐθνικῆς δυνάμεως ἑκάστης χώρας. Πᾶσα προκαταρκτικὴ Σχολὴ μέλλει ὠφελεῖν, ἐφόσον διατελέσει πιστὴ ταῖς ἄνωθι ὑποδειχθείσαις ἀρχαῖς. Ὡς πρὸς δὲ τὴν Σχολὴν τὴν Ἐκκλησιαστικήν, ἕως οὗ αὐτὴ ὑφίσταται, οὐ δύναται ἀποστῆναι αὐτῶν. Τοὺς παῖδας τοὺς ἐν αὐτῇ διδασκομένους αὐτὴ παιδαγωγεῖ ἐν τοῖς κανόσι τῆς χριστιανικῆς ἠθικῆς, εἰσάγει αὐτοὺς εἰς τὸ κεχαριτωμένον βασίλειον τῆς ἀγάπης, ὅπου τὰ τέκνα τοῦ Χριστοῦ εὑρίσκουσιν ἄκραν παραμυθίαν ἐν τῇ βοηθείᾳ τοῖς πλησίον, καὶ ἐθίζονται προθυμότερον διδόναι εἰς τὸ ὄνομα τοῦ Χριστοῦ ἢ λαμβάνειν πρὸς ἐκπλήρωσιν τῶν οἰκείων, μηδέποτε ἐκπληρουμένων, ἀπαιτήσεων καὶ ἐπιθυμιῶν. Ἡ καλὴ Σχολή, στηρίζουσα τοὺς ἑαυτῆς μαθητὰς ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως, δύναται προφυλάξαι τὸν λαὸν ἀπὸ τῆς αἱρέσεως, τῆς εἰσαγούσης διαίρεσιν καὶ ἀσθένωσιν εἰς τὸν πνευματικὸν βίον τοῦ λαοῦ. Ἡ καλὴ Σχολὴ δύναται ὀχυρῶσαι καὶ ἀπὸ τοῦ κοινωνισμοῦ, τοῦ προσωθοῦντος τοὺς ἀνθρώπους εἰς τὴν ἐπιθυμίαν μᾶλλον ἢ ἧσσον βιαίως ἐπιτυχεῖν ἴσης μεταξὺ πάντων διανομῆς τῶν ἀγαθῶν τῶν περὶ τὴν οὐσίαν. Ἡ Σχολὴ ἡ Ἐκκλησιαστική, βοηθοῦσα τῇ παιδαγωγικῇ ἱεραποστολῇ τῆς Ἐκκλησίας, ἐθίζει τοὺς ἀνθρώπους κατευθύνειν τὰ διανοήματα αὐτῶν ἐκ γῆς πρὸς οὐρανόν, παρασκευάζει αὐτοὺς εἰς τὴν ζωὴν τῆς μακαριότητος ἐν τῇ οὐρανίῳ πατρίδι, καὶ διδάσκει, ὅπως συγγνώμην διδόντες τοῖς ἐχθροῖς ἀρκῶνται τῷ ἑαυτῶν, καίπερ μετρίῳ, κλήρῳ. Ἡ καλὴ Σχολή, πιστὴ τῇ διαθήκῃ τοῦ Σωτῆρος, μέλλει εἰσάγειν εἰρήνην καὶ εὐδοκίαν ἐν ἀνθρώποις, καὶ ἠρεμίζειν τὴν ἔχθραν καὶ τὴν κακίαν, τὰς ἀποχωριζούσας τοὺς ἀνθρώπους. Αὐταῖς ταῖς σκέψεσι περὶ τῆς φίλης πᾶσιν ἡμῖν Ἐκκλησιαστικῆς Σχολῆς κατακλείω τὸν διάλογον μεθ' ὑμῶν, καὶ ἐξ ὅλης τῆς καρδίας εὔχομαι ὑμῖν εὑρεῖν, ἐν τῇ ὑψηλῇ διακονίᾳ τῷ φωτισμῷ τοῦ λαοῦ, ὡς δυνατὸν πλήρη ἐκπλήρωσιν τῶν ὁρμῶν ὑμῶν εἰς δικαιοσύνην καὶ ὄφελος τῶν πλησίον.

Ἔστωσαν αἱ ἐκ δύο Τάξεων Σχολαί, ἐν αἷς ὑμεῖς διδάσκετε, φυτώρια καλῶν διδασκάλων, καὶ στεφανούτω ὁ Κύριος τοὺς μόχθους ὑμῶν τῇ ἐφετῇ προόδῳ. (См. Прибавл. къ Церк. Вѣдом. за 1897 г. № 32. Стр. 1116—1118).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# XV.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐπισκέψει τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Χόλμης.

Παρήγορον αἴσθησιν παράγει ἡ Χόλμη, ἡ ἀκρόπολις τῆς Ὀρθοδοξίας τῆς Ῥωσσικῆς πέραν τοῦ ποταμοῦ Βοὺγ (τοῦ χωρίζοντος τὴν Πολωνίαν ἀπὸ τῆς Ῥωσσίας) χώρας. Κατὰ τὰ τελευταῖα ἔτη αὕτη ἐπλουτίσθη λαμπροῖς καθιδρύμασιν ἐκκλησιαστικῶν παιδευτηρίων· καλὰ καὶ εὖ κατηρτισμένα ἐνταῦθα τὸ Σεμινάριον καὶ ἡ Ἐκκλησιαστικὴ Σχολή. Ὑπολείπεται εὔχεσθαι, ὅπως οἱ διδασκόμενοι ἐν αὐτοῖς δικαιῶσι τὰς ἀνατιθεμένας ἐπ' αὐτοὺς ἐλπίδας.

Ὑμεῖς, οἱ μαθηταὶ τοῦ Σεμιναρίου Χόλμης, παρασκευαζόμενοι εἰς τὸ στάδιον τῆς ποιμαντικῆς διακονίας τῇ Ἁγίᾳ Ἐκκλησίᾳ, ὀφείλετε μεμνῆσθαι, ὅτι μίαν τῶν κυρίων συνθηκῶν τῆς προόδου τῶν ἀσχολιῶν ὑμῶν δέον ἐμπεριέχεσθαι ἐν τῇ συνειδήσει ὑφ' ὑμῶν τῆς ἀνάγκης τοῦ διευθύνειν πάσας τὰς δυνάμεις τοῦ νοὸς ὑμῶν καὶ τῆς καρδίας εἰς τὴν ἀξίαν ἀποδοχὴν τοῦ ἱεροῦ ἀξιώματος. Αἱ ἀσχολίαι ὑμῶν τότε μόνον ἔσονται καρποφόροι, εἰ ἡ διάνοια ὑμῶν σταθερῶς μέλλει τείνειν εἰς τὸν ἕνα, τὸν ἐφετὸν σκοπὸν τῆς διδασκαλίας ὑμῶν. Εἰ ὑμεῖς διὰ μνήμης ἕξετε, πόσον ὑψηλὴ καὶ ὠφέλιμος ἡ διακονία τῇ ἁγίᾳ Ἐκκλησίᾳ, τότε βεβαίως μέλλετε σπουδὴν ἔχειν ὀχυρῶσαι ἑαυτοὺς ἀπὸ τῶν πειρασμῶν, τῶν δυναμένων ἀποστῆσαι ὑμᾶς τῆς ἐπιτυχίας τοῦ ἱεροῦ σκοποῦ. Τῷ καλῷ καὶ φρονίμῳ μαθητῇ τοῦ Σεμιναρίου δύναται εἶναι ἐφετὸν καὶ ἀναγκαῖον μόνον ὅ,τι δύναται πλουτίζειν τὸν νοῦν αὐτοῦ ταῖς γνώσεσι, ταῖς χρησίμοις πρὸς τὸ μέλλον ποιμαντικὸν ἔργον, ἢ τρέφειν τὴν καρδίαν αὐτοῦ καθαραῖς αἰσθήσεσι, δυναμέναις ἀνυψοῦν αὐτὸν ὑπὲρ τὴν στάθμην τῆς σχολαστικῆς κενοσπουδίας. Τὰ ὑψηλὰ ἰδανικὰ τοῦ ποιμαντικοῦ ἔργου ἀεὶ αὐτὸς ὀφείλει ἔχειν ἐν τῇ μνήμῃ, ἀγαπᾶν πᾶν τὸ συνᾷδον αὐτοῖς καὶ ἀποφεύγειν πᾶν τὸ ἀπᾷδον αὐτοῖς. Μὴ παρασύρεσθε ταῖς βουλαῖς περὶ προόδων ἐν τῇ ὑπηρεσίᾳ ἐν διαφόροις σταδίοις τῆς πολιτικῆς ἢ κοινωνικῆς δράσεως· περὶ πολλοῦ ποιεῖσθε τὴν ἐξουσίαν τοῦ χειραγωγεῖν τοὺς ἀνθρώπους, στηρίζειν αὐτοὺς ἐν τῇ ἀγάπῃ πρὸς τὸν Θεὸν καὶ τοὺς πλησίον, διδάσκειναὐτοὺς τὸ καλὸν, δύναμιν ἔχειν οὕτω πρὸς τὴν ἠθικὴν διάπλασιν καὶ τὴν χριστιανικὴν τελείωσιν δεκάδων, ἑκατοντάδων, ἴσως χιλιάδων ἀνθρώπων. Ἀληθῶς μεγάλη καὶ ἐπωφελὴς διακονία πρόκειται πολλοῖς ἐξ ὑμῶν: ὑμεῖς παρασκευάζεσθε εἶναι ποιμένες τῆς λογικῆς ποίμνης τοῦ Χριστοῦ. Τὸ εἶναι ποιμένα σημαίνει ἄγειν τὴν ποίμνην κατὰ τὴν ὁδὸν τῆς σωτηρίας, χειραγωγεῖν τὰ τέκνα τοῦ Χριστοῦ ἐν τοῖς τῆς πίστεως καὶ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἠθικότητος, διανοίγειν τὸν νοῦν αὐτῶν εἰς τὸ συνιέναι τὰς γραφάς, στηρίζειν ἐν τοῖς κανόσι τῆς χριστιανικῆς εὐσεβείας, προφυλάττειν ἀπὸ τῶν διδασκαλιῶν, τῶν ἀγουσῶν εἰς τὴν αἰώνιον ἀπώλειαν, καὶ παρασκευάζειν αὐτοὺς εἰς τὴν μακαρίαν ζωὴν ἐν ταῖς οὐρανίαις μοναῖς. Τίσι δὲ τρόποις χρῆται ὁ ποιμὴν ἐν τῇ μεγάλῃ αὐτοῦ διακονίᾳ Χριστῷ τῷ Σωτῆρι καὶ τῇ ἁγίᾳ Ἐκκλησίᾳ Αὐτοῦ;

Πρώτιστα, σταθερὸς ὢν ἐν τῇ πίστει, αὐτὸς ὀφείλει τῷ ἑαυτοῦ βίῳ εἶναι πρότυπον καὶ παράδειγμα διὰ τὴν ποίμνην. Ἰδίαν φροντίδα ὀφείλει ἔχειν περὶ τοῦ ναοῦ τοῦ Θεοῦ· ἡ εὐλαβὴς λειτουργία, κατανύσσουσα τὰς καρδίας τῶν πιστῶν, ἀποκαλύπτει αὐτοῖς τὸν νοῦν τῆς περὶ χριστιανικῆς πίστεως διδασκαλίας. Αἱ τὰ μάλιστα οἰκοδομητικαί, αἱ προσιταὶ τῇ κατανοήσει τῶν προσευχομένων ὑμνῳδίαι τῆς Ὀρθοδόξου Ἐκκλησίας πλουτίζουσι τὸν νοῦν τῶν πιστευόντων ταῖς γνώσεσι τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως καὶ τρέφουσι τὰς καρδίας κατανυκτικοῖς αἰσθήμασι, προσπνεομένοις τῇ τεχνικῇ καλλονῇ τῶν ἀθανάτων ποιημάτων τῶν συγγραφέων τῶν Ἐκκλησιαστικῶν κανόνων. Ὁ καλὸς ποιμὴν γινώσκει τὴν δύναμιν τῆς προσευχῆς καὶ διδάσκει τὰ πνευματικὰ τέκνα αὐτοῦ τὴν προσευχήν. Ὁ ναὸς τοῦ Θεοῦ, ὁ οἶκος τῆς προσευχῆς, ὄντος ἐπιμελοῦς τοῦ ποιμένος, ἀντηχεῖ τῇ εὐρύθμῳ μελῳδίᾳ, τῇ τερπούσῃ τὸ οὖς καὶ εὐφραινούσῃ τῇ καθαρᾷ χαρᾷ τὴν ὑπὸ βιωτικῆς θλίψεως ἀμοιρήσασαν καρδίαν τοῦ ἀνθρώπου. Τοῦ προνοητικοῦ ἱερέως ὁ ναός, καίπερ πενιχρός, ἀεὶ ἐν τάξει· ἐν πᾶσι καταφανὴς ἡ πρόνοια, ὅπως ὁ ναὸς ὁ εἰς δόξαν τοῦ ἐν Τριάδι ἑνὸς Θεοῦ κτισθείς, τηρῆται ὡς ἁγίασμα, ὅπως αὐτός, τὸ πιστὸν καταγώγιον τῶν θλιβομένων, πολλάκις ἀντηχῆται ταῖς εὐχαῖς.

Εὐλαβῶς τελῶν τὴν λειτουργίαν, ὁ ἐπιμελὴς ποιμὴν οἰκοδομεῖ τοὺς τῷ Θεῷ εὐχομένους ταῖς προσιταῖς αὐτοῖς διδαχαῖς: ἑρμηνεύει τὴν Ἱερὰν Γραφήν, ἀποκαλύπτει τὴν περὶ δογμάτων διδασκαλίαν, ἐξηγεῖ τὴν σημασίαν τῶν ἑορτῶν, εἰσάγει εἰς τὴν βασιλείαν τῆς δόξης τῆς ἐν οὐρανῷ θριαμβευούσης Ἐκκλησίας, ὁμιλεῖ περὶ τῶν μόχθων, τῶν προκειμένων τῇ ἐπὶ γῆς στρατευομένῃ Ἐκκλησίᾳ. Διδάσκει τοὺς ἀνθρώπους τὰς προσευχὰς καὶ ἐν τῇ προσευκτικῇ ἑνώσει μετ' αὐτῶν ἀντλεῖ νέας δυνάμεις διανῦσαι τὴν ποιμαντικὴν αὐτοῦ διακονίαν.

Τὸ φῶς τῆς τοῦ Χριστοῦ διδασκαλίας ὁ ἱερεὺς μεταφέρει ἐκ τοῦ ναοῦ εἰς τὴν Σχολήν, διδάσκων τὰ παιδία τὸν Νόμον τοῦ Θεοῦ· ἐπισκοπῶν ἐπὶ τῆς πνευματικῆς αὐτῶν ἐπιδόσεως, παρασκευάζει αὐτὰ εἰς αὐθυπόστατον βίον καὶ τιμίαν ἐργασίαν. Ὅ,τι ὁ ἱερεὺς οὐ δύναται τελέσαι ἐν τῇ Ἐκκλησίᾳ, συμπληροῖ ἐν τῇ Σχολῇ. Οἱ ἐν τῇ Σχολῇ μόχθοι αὐτοῦ ἀνακουφίζουσιν αὐτῷ τὸ βάρος τοῦ ποιμαντικοῦ ἔργου αὐτοῦ.

Πρὸς τῇ Ἐκκλησίᾳ καὶ τῇ Σχολῇ ὁ καλὸς ποιμὴν χρῆται παντὶ καιρῷ, ὅπως καλῶς καὶ ἐπωφελῶς ἄγῃ τοὺς παροίκους. Πρὸς τοὺς ἀσθενεῖς, τοὺς πιεζομένους ὑπὸ τῆς θλίψεως, τοὺς πτωχοὺς καὶ ἀμοιρήσαντας ὁ καλὸς ποιμὴν πορεύεται ἄνευ ἰδίας κλήσεως ἢ προσκλήσεως,—πορεύεται,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅπως λόγῳ ἐνθαῤῥύνσεως ἢ παραμυθίας καταπραΰνῃ τὸν πάσχοντα. Τὰ ἔργα τῆς ἀγάπης καὶ τοῦ ἐλέους ἰδίᾳ προσφιλῆ τῷ τοιούτῳ ποιμένι· αὐτὰ τιμιώτερα αὐτῷ τῶν ἀργῶν καὶ κενοσπούδων φροντίδων περὶ καλλονῆς ἢ εὐμαρείας τῶν τοῦ βίου αὐτοῦ ἢ ἐκείνων τῶν ἀγαθῶν, ὧν ἡ χρῆσις τόσον ἐπισφαλής, ὡς τὸ χρῶμα τῶν ἐαρινῶν ἀνθέων. Δεῖ τὸν οἶκον τοῦ ἱερέως εἶναι προσφιλῆ τοῖς παροίκοις αὐτοῦ: αὐτοὶ πορεύονται εἰς τοῦτον τὸν οἶκον μετὰ τῶν θλίψεων αὐτῶν καὶ τῆς χαρᾶς, περὶ αὐτῶν ὁμιλοῦσι μετὰ τοῦ ἱερέως, ὡς τὰ τέκνα μετὰ τοῦ πατρός. Ἐν ἔργοις χαλεποῖς αὐτός ἐστιν ὁ πιστὸς σύμβουλος αὐτῶν. Εἰ δὲ αὐτὸς ἢ ἡ σύζυγος ἔχουσι πεῖραν τῶν τρόπων τῆς παροχῆς τῆς πρώτης ἀρωγῆς ἔν τισιν ἀῤῥωστήμασιν, οἵας ὠφελείας δύνανται τυχεῖν οἱ ἀσθενεῖς, οἳ οὐ σπανίως ἐστέρηνται τοῦ δυνατοῦ στραφῆναι πρὸς τὸν μακρὰν ζῶντα ἰατρόν! Ἐὰν δὲ παρὰ τῷ ἱερεῖ ἱδρυθῇ καλὸν μελιττουργεῖον, καρποφόρος κῆπος, ἤ, καθόλου, ἐὰν τὰ οἰκονομικὰ αὐτοῦ ἀνθῶσιν ἄνευ βλάβης τῆς ποιμαντικῆς αὐτοῦ δράσεως, οἵαν ὠφέλειαν προσκομίσει οὗτος ὁ οἰκονόμος πατὴρ τοῖς ὁμοχώροις αὐτοῦ. Παρέχων αὐτοῖς παράδειγμα τιμίας ἐργασίας, ὁ ἐπιμελὴς ποιμὴν στηρίξει αὐτοὺς ἐν καλαῖς ἕξεσιν ἐγκρατείας, καὶ τῷ ἑαυτοῦ βίῳ καὶ τῇ διδασκαλίᾳ ἀποκαλύψει ἅπαν τὸ ὀλέθριον τῆς μέθης, τῆς φθειρούσης τὰ χρηστὰ ἤθη, τῆς φαρμακευούσης τῷ κακῷ φαρμάκῳ ὁλοκλήρους γενεάς, τῆς ἀγούσης τοὺς ἀνθρώπους εἰς τὴν ἠθικὴν πτῶσιν καὶ πλήρη διαφθοράν.

Οἱ ἱερεῖς, οἱ κατανοοῦντες τὸ ὕψος τοῦ ἑαυτῶν λειτουργήματος καὶ μετ' αὐταπαρνήσεως φέροντες τὸ βάρος αὐτοῦ, παρίστανται εὐεργέται τοῦ λαοῦ· συντελοῦσι τῇ πνευματικῇ ἐπιδόσει αὐτοῦ, τρέφουσι τὴν ἠθικὴν δύναμιν αὐτοῦ, ἐκείνην τὴν δύναμιν, ἥτις ἐν τῷ ἔργῳ τοῦ φωτισμοῦ πάντων τῶν ἀνθρώπων παρίσταται κινήτρια ἰσχυροτέρα τῶν ὑλικῶν, φυσικῶν δυνάμεων.

Ἡ πραγμάτωσις τούτων τῶν ἀρχῶν παρίσταται καιριωτέρα ἐν τοῖς ὁρίοις τῆς ἐπαρχίας Χόλμης, ἅτε ἐνταῦθα τοῦ κλήρου ἐξησφαλισμένου πλείονι μισθῷ, καὶ διὰ τοῦτο ἡ φροντὶς περὶ ζητήσεως ὑλικῶν πόρων δύναται ἧσσον, ἢ ἐν ταῖς ἄλλαις ἐπαρχίαις ἀποσύρειν τοὺς ποιμένας ἀπὸ τῆς ἐκπληρώσεως τῶν ποιμαντικῶν καθηκόντων.

Ὑμῖν, τοῖς μέλλουσι ποιμέσι τῆς Ῥωσσικῆς πέραν τοῦ ποταμοῦ Βοὺγ χώρας εὔχομαι προσκτήσασθαι ἐν τῷ Σεμιναρίῳ τῆς Χόλμης ἐκείνην τὴν σταθερὰν τοῦ πνεύματος διάθεσιν, τὴν δυναμένην παρασχεῖν ὑμῖν δύναμιν ἐπωφελῶς τῇ ἁγίᾳ Ἐκκλησίᾳ διανύειν τὴν φωτιστικὴν ὑμῶν διακονίαν, καὶ στηρίζειν ἐν ταῖς καρδίαις τῶν ποιμαινομένων ὑμῶν τὴν ἀφοσίωσιν τῇ ἁγίᾳ Ὀρθοδόξῳ πίστει καὶ τὴν κατανόησιν τούτου, ὅτι αὕτη ἡ πίστις τῶν πατέρων ἀπὸ μακρῶν ἐτῶν ἦν προσφιλὲς κτῆμα παντὸς τοῦ ῥωσσικοῦ λαοῦ, τοῦ ζήσαντος ἐν τοῖς ὁρίοις τῆς Μεγάλης, Μικρᾶς, Τσερβονίου (Γαλλικίας) καὶ Λευκῆς Ῥωσσίας. Ἡ ἥσυχος, ἀμερόληπτος ἐκμάθησις τῶν ἀληθῶν τυχῶν τῆς πατρίδος ἡμῶν μέλλει τρέφειν παρ' ὑμῖν ἀληθῆ ἀγάπην πρὸς αὐτὴν καὶ στηρίζειν ἐν τῇ προσφιλεῖ ἀεὶ τοῖς ἀρίστοις τέκνοις αὐτῆς ἐννοίᾳ,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὅτι οὐ δεῖ ἡμῖν ἀλλοτρίου, τὸ δὲ ἑαυτῶν φυλάξωμεν ἀπὸ βιαίων σφετερισμῶν ἀκέραιον καὶ ἀνέπαφον. Πολλοὶ ἐξ ὑμῶν ἐξῆλθον ἐκ τοῦ μέσου τοῦ λαοῦ καὶ τούτου ἕνεκα μετὰ τὴν ἀποφοίτησιν ἠθικῶς ὑπόχρεοι ἀποδοῦναι πάσας τὰς δυνάμεις ὑμῶν τῷ αὐτῷ λαῷ. Αὐτὸς προσδοκᾷ ὑμᾶς, εὖ εἰδότας τὰς ἀνάγκας αὐτοῦ καὶ ἐνταῦθα ἐν τῷ Σεμιναρίῳ κτωμένους ἐκεῖνα τὰ ὕψιστα ἀγαθὰ τῆς γνώσεως, τὰ βοηθήσοντα αὐτῷ ὑψωθῆναι εἰς τὸ δέον ἠθικὸν ὕψος. Ὑμεῖς δὲ, οἱ μέλλοντες χειραγωγοὶ αὐτοῦ, ὀφείλετε καθ' ἅπαν τὸ στάδιον τῶν ἐν τῷ Σεμιναρίῳ σπουδῶν ἔχειν σταθερὰν μνήμην περὶ τούτου, ὅτι εὖ ἄγειν τὸν λαὸν δύνανται μόνον ἐκεῖνοι, οἵπερ αὐτοὶ ἐφαρμόζουσι ταῖς βιωτικαῖς σχέσεσι τὰς ἠθικὰς ἀρχὰς τῆς διδασκαλίας τοῦ Εὐαγγελίου. Οἱ ἐν συνειδήσει γινώσκοντες τὴν κλῆσιν αὐτῶν, ἐπιμελῶς συνάγετε ἐνταῦθα, ἐν τούτῳ τῷ φωτεινῷ, εὖ κατηρτισμένῳ Σεμιναρίῳ ἐκείνους τοὺς θησαυροὺς τῆς γνώσεως καὶ τῆς ψυχικῆς καθαρότητος, ὧν ἄνευ οὐ δυνήσεσθε ὑπερνικῆσαι τὰ κωλύματα, τὰ σωρηδὸν διεσπαρμένα ἐν τῇ ὁδῷ ὑμῶν. Γνῶτε, ὅτι ἄνευ μονίμου πειθαρχίας τῆς βουλήσεως ὑμεῖς οὐκ ἐξεργάσεσθε ἐν ἑαυτοῖς ἐκείνην τὴν καρτερίαν τοῦ χαρακτῆρος, ἧς ἄνευ ὅλα τὰ ἔργα ὑμῶν ὀλίγον ὠφελήσουσιν ὑμᾶς.

Σπουδάζετε δὴ περὶ τὴν κτῆσιν γνώσεων καὶ δυνάμεων, χρησίμων πρὸς τὸ πνευματικὸν ποιμαντικὸν ἔργον, καὶ πληθυνέτωσαν εἰς δόξαν Θεοῦ ἐν τῇ ἐπαρχίᾳ Χόλμης καὶ Βαρσαβίας ποιμένες ζηλωταί, μετ' αὐταπαρνήσεως διακονοῦντες τῇ ἁγίᾳ Ἐκκλησίᾳ, εἰσφέροντες εἰρήνην καὶ ἀγάπην ἐν μέσῳ τῶν ποιμαινομένων καὶ οὕτω χαροποιοῦντες τὴν ἀγαπῶσαν καρδίαν τοῦ Πατρὸς τῆς Ῥωσσικῆς γῆς, τοῦ Θεοφρουρήτου Βασιλέως ἡμῶν. (См. Прибавл. къ Церков. Вѣдом. за 1897 г. № 38. стр. 1345—1347).

---

# XVI.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἱδρύσει πτωχοκομείου ἐν Γαλέρναγια Γαβάνῃ τῆς Πετρουπόλεως, τὴν 21 Νοεμβρίου 1897 ἔτους.

Ὁ τῆς ἐν Γαλέρναγια Γαβάνῃ παροικίας φιλανθρωπικὸς σύλλογος ἵδρυσε πτωχοκομεῖον διὰ τὰς γραίας τοῖς ὑπὲρ τῶν ἐκ πλημμύρας παθόντων προσενεχθεῖσι χρήμασιν. Ἡ ἔναρξις αὐτοῦ ἐγένετο τὴν 21 Νοεμβρίου 1897 ἔτους. Μετὰ τὴν λειτουργίαν ἐν τῷ ναῷ τῆς Ἐλεούσης Θεομήτορος, τὰ μέλη τοῦ συλλόγου συνήχθησαν ἐν τῷ γηροκομείῳ, ὅπου ἐτελέσθη Παράκλησις. Μετὰ δὲ τὸν ῥαντισμὸν τῶν δωματίων τῷ ἡγιασμένῳ ὕδατι, ὁ τοῦ συλλόγου πρόεδρος κ. Β. Κ. Σάβλερ εἶπε τὸν ἑξῆς λόγον:

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τὴν 4 Νοεμβρίου τὰ κύματα κατέκλυσαν μέγα μέρος τῆς ἐν Γαλέρναγια Γαβάνῃ παροικίας τῆς ἁγίας Τριάδος. Ἡ πικρὰ μοῖρα τῶν πενήτων, τῶν ἐνταῦθα βιούντων, ἀπέβη ἔτι χαλεπωτέρα. Τὸ ὕδωρ ταχέως ἐπῆλθεν εἰς τὸ οἴκημα, κατέβρεξε τὰ πενιχρὰ ἔπιπλα τῶν πενήτων, ἔφθειρε καὶ τὰ ἄνευ τούτου ἀτελῆ αὐτῶν πράγματα, περιφόβους ἐποίησε καὶ γέροντας καὶ νέους. Ταῖς ἀρυταίναις, τοῖς κάδοις, ἔστιν ὅτε δὲ καὶ τοῖς πυροσβεστικοῖς κηλωνείοις ἐξεκένουν τὸ ὕδωρ. Ἀπεμάκρυναν μὲν αὐτό, ἀλλ' ἡ ὑγρασία ἐπότισε τὸ ἔδαφος καὶ τοὺς τοίχους τῶν ἐλεεινῶν οἰκημάτων. Οἱ καλοὶ ἄνθρωποι ἔπεμψαν ξύλα, πλέον ἢ κατὰ τὸν συνήθη χρόνον ἐκάπνισαν αἱ θερμάστραι, καὶ ἐν τῇ δυσώδει ἀτμοσφαίρᾳ τῶν πνιγηρῶν ἐξατμίσεων ἤρξαντο οἱ ταλαίπωροι κάτοικοι τῆς Γαλέρναγια Γαβάνης ἄγειν εἰς τάξιν τὰς πνιγηρὰς αὐτῶν κατοικίας. Ἀπώλεια καὶ φθορὰ σκευῶν, φόβος ἐμποιούμενος ὑπὸ τῆς φοβερᾶς ὁρμῆς τοῦ ὕδατος κατὰ τὸν ψυχρὸν καὶ χιονώδη χειμῶνα, παντοῖαι νόσοι, προκληθεῖσαι ὑπὸ τοῦ ψύχους καὶ τῆς ἐργασίας μέχρι γονάτων καὶ ὑπὲρ τὰ γόνατα ἐν τῷ ὕδατι—τοιαῦτα τὰ κεφάλαια τῆς πλημμύρας. Ἐπεσκέψατο ὁ Κύριος τοὺς πένητας, ἀλλὰ καὶ ἄφθονον ἀπέστειλεν αὐτοῖς τὴν παραμυθίαν.

Ἡ ἀγγελία περὶ τῆς συμφορᾶς ὑπεκίνησεν ἑκατοντάδας ἀνθρώπων εἰς τὸ ἅγιον ἔργον τῆς εὐποιΐας. Πλούσιοι καὶ πένητες, γέροντες καὶ νέοι ἔσπευδον ἐπικουρῆσαι τοῖς παθοῦσι χρήμασί τε καὶ σκεύεσι. Λίαν διδακτικὴ αὕτη ἡ ἐκδήλωσις ἐν τῇ ἡμετέρᾳ κοινωνίᾳ τῆς χριστιανικῆς εὐσπλαγχνίας. Πλειστάκις αἱ προσφοραὶ πέμπονται ἢ ὑπὸ ἀγνώστων, ἢ ὑπὸ προσώπων, κρυπτόντων τὰ ἑαυτῶν ὀνόματα ὑπὸ τυχαῖα ἢ τὰ ἀρχικὰ γράμματα. Πολλοὶ ἐν ἡμῖν οἱ καλοὶ χριστιανοί, οἱ διὰ μνήμης ἔχοντες τὴν τοῦ Χριστοῦ ἐντολὴν περὶ ἐλεημοσύνης, οἱ χριστιανοὶ οἱ προσέχοντες τῇ κλήσει τῆς ἁγίας Ἐκκλησίας καθαρίσαι ἑαυτοὺς ταῖς ἐλεημοσύναις καὶ τοῖς οἰκτιρμοῖς τῶν πτωχῶν, μὴ σαλπίζοντες, μὴ δεικνύντες τὴν ἑαυτῶν εὐποιΐαν, ἵνα μὴ γινώσκῃ ἡ ἀριστερά, τί ποιεῖ ἡ δεξιά, ἵνα μὴ διασκορπίσῃ ἡ κενοδοξία τὸν καρπὸν τῆς ἐλεημοσύνης τῶν ἐν κρυπτῷ ἐργαζομένων τῷ μυστηριογνώστῃ. Τὸ αἴσθημα τῆς συμπαθείας, τὸ προσὸν τοῖς ἐνήλιξιν, ἰδίᾳ δυνάμει ἐξεδηλώθη ἐν τοῖς παιδίοις, καὶ χρήματα καὶ σκεύη πέμπουσιν αὐτὰ τοῖς πένησι τῆς ἐν Γαλέρναγια Γαβάνης. Ἰδοὺ ἐκ μακρὰν κειμένης Σχολῆς φέρουσι μέγα κάνιστρον μετ' ἐνδυμάτων καὶ λευκῶν ἱματίων· τὰ παιδία οὐ μόνον τὰ ἑαυτῶν διένειμαν, ἀλλὰ καὶ τέσσαρα ρούβλια συνέλεξαν μεταξὺ ἀλλήλων. Ἐκ τοῦ Τσάρσκοε Σελὸ αἱ μαθήτριαι τῆς Σχολῆς ἀπέστειλαν ταῖς κόραις τῶν κληρικῶν μέγα κάνιστρον μετὰ πραγμάτων, κατεσκευασμένων ὑπ' αὐτῶν διὰ τοὺς παθόντας ἐκ πλημμύρας. Ὑπομνήσωμεν ἕτερον γεγονός. Τέσσαρες κόραι προσήνεγκον ἀνὰ μίαν δεσμίδα τοῖς παιδίοις τῆς Γαβάνης. Αὗται ἔμαθον περὶ τῆς συμφορᾶς αὐτῶν καὶ ἔσπευσαν δοῦναι αὐτοῖς ὅ,τι ἠδύναντο. Ἐκ τῶν ἐγγὺς καὶ μακρὰν τόπων οὐ παύουσι πέμποντες ἄφθονον συνδρομήν, καὶ ὁ τῆς παροικίας τῆς Ἁγίας Τριάδος φιλανθρωπικὸς σύλλογος ἡγεῖται ἑαυτὸν εὐτυχῆ, ὅτι, χρωμένη τῇ ἐμπιστοσύνῃ τῶν ἐλευθερίων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐεργετῶν, δυναται συνηνωμένος μετὰ τοῦ συλλόγου «Ἐρυθροῦς Σταυρὸς» σπουδὴν ποιήσασθαι περὶ τὴν ὡς δυνατὸν ἀνακούφισιν τῆς χαλεπῆς μοίρας τῶν παθόντων ἐκ τῆς πλημμύρας. Διὰ τοῦ κανονικοῦ διοργανισμοῦ τῆς παροικιακῆς εὐποιΐας, ὁ σύλλογος ἡμῶν ἐν τῷ προσώπῳ τοῦ προεστῶτος τῆς Ἐκκλησίας καὶ τῶν Ἐπιτρόπων, τῶν ἰθυνόντων τὰ τμήματα, εἰς ἃ ἡ παροικία διῄρηται, ἐγγὺς γινώσκει τὰ τῶν χρείαν ἐχόντων, καὶ διὰ τοῦτο δύναται ὀρθῶς διανέμειν ἐν αὐτοῖς τὴν βοήθειαν. Ἡ εὐποιΐα ἡ παροικιακὴ ἀναμφιλέκτως ἐστὶν ἡ ὀρθωτάτη· αὐτὴ ἀναπαύεται ἐν ζῶντι συνδέσμῳ μεταξὺ τῆς Ἐκκλησίας καὶ τῶν πενήτων. Οὐ ξένοι, ἀλλ' οἰκεῖοι αὐτοὶ τῇ παροικίᾳ, τῇ ἐκζητούσῃ ὁδοὺς πρὸς ἔνδειξιν αὐτοῖς τῆς κατὰ δύναμιν βοηθείας. Ὁ σύλλογος ἡμῶν ἀπὸ τῆς ἱδρύσεως αὐτοῦ ἀκλινῶς τείνει ὑψῶσαι διὰ τῆς Ἐκκλησιαστικῆς Σχολῆς τὴν ἠθικὴν καὶ διανοητικὴν στάθμην τῆς ἐπιγινομένης γενεᾶς καὶ ἀνακουφῖσαι χρηματικαῖς συνδρομαῖς τὴν πικρὰν μοῖραν τῶν πενεστάτων τῆς παροικίας. Ἔχομεν ἄσυλον, ἐν αὐτῷ μέχρι τοῦδε περιεθάλποντο 40 παιδία· νῦν ὁ ἀριθμὸς αὐξήσει. Ἐν τῇ Σχολῇ τῆς Ἐκκλησίας διδάσκονται σὺν τοῖς τοῦ ἀσύλου 320 παιδία. Μέγα μέρος αὐτῶν πάσχει ὑπὸ ἐνδείας· αὐτοί, ἐνδεῶς ἐνδεδυμένοι, ἔτι ἐνδεέστερον ὑποδεδυμένοι, τρέφονται, μὴ καταπαύοντες τὴν πεῖναν. Ὁ παροικιακὸς φιλανθρωπικὸς σύλλογος ἠδύνατο, τῆς ἀνεπαρκείας ἕνεκα τῶν πόρων, διδόναι μόνον περὶ τὰ Χριστούγεννα τοῖς παιδίοις χιτῶνας καὶ ἐνδύματα, ὑποδήματα χορηγεῖν μόνον τοῖς ἕνεκα ἐλλείψεως αὐτῶν μὴ δυναμένοις φοιτᾶν εἰς τὴν Σχολήν, καὶ ἀντὶ ἀρίστου ποτίζειν πάντα τὰ φοιτῶντα διὰ τείου μετὰ μέλανος ἄρτου. Νῦν διὰ τῆς ἐλευθερίου συνδρομῆς τοῦ συλλόγου «Ἐρυθρὸς Σταυρὸς» ὑπὲρ τὰ 50 παιδία τῶν ἐκ τῆς πλημμύρας παθόντων οἴκων λαμβάνουσι γεῦμα καθ' ἑκάστην. Ὁ σύλλογος, φροντίζων ἀναλόγως τῶν πόρων περὶ τῶν παιδίων, πειρᾶται διὰ τῆς Σχολῆς ἐμφυτεῦσαι αὐτοῖς καλὰς ἕξεις, ἐθίζειν αὐτὰ εἰς τὴν καθαρότητα, τάξιν, ἀπολούειν ἀπὸ τοῦ ἀγυιαίου βορβόρου, ἀπεθίζειν ἀπὸ τῶν μὴ καλῶν ἕξεων, τῶν φθειρουσῶν τὰ παιδία τῶν πόλεων. Ὁ σύλλογος ἡμῶν οὐκ ἐπελανθάνετο καὶ τῶν γερόντων· κατὰ μῆνα καὶ ἐφάπαξ διένεμε βοηθήματα. Ἡ ἔλλειψις τῶν πόρων ἐκώλυε τὴν ἵδρυσιν τοῦ ἐκ πολλοῦ διανενοημένου γηροκομείου. Ἀλλ' ἰδοὺ ὁ ἰσχυρὸς ἄνεμος ἐπέσυρεν εἰς τὴν Γαβάνην τὰ ψυχρὰ κύματα, καὶ οἱ καλοὶ χριστιανοὶ διηύθυναν εἰς τὴν αὐτὴν Γαβάνην ἄφθονον καὶ πλουσίαν βοήθειαν.

Τοῖς χρήμασι, τοῖς προσενεχθεῖσι, συνῳδὰ τῷ προορισμῷ αὐτῶν καὶ σὺν τῷ συλλόγῳ «Ἐρυθρὸς Σταυρὸς», τῷ οὕτως εὐκαίρως ἱδρύσαντι ἐνταῦθα λαμπρὸν Θεραπευτήριον, μέλλομεν χορηγεῖν καύσιμον ὕλην τοῖς τὰ μάλιστα παθοῦσι. Παρείχομεν καὶ μέλλομεν παρέχειν ὑποδήματα, λευκὰ ἱμάτια καὶ ἐνδύματα· καί, ὅπερ ἰδίᾳ ἡμῖν παρήγορον, νῦν ἱδρύομεν οὐ μέγα γηροκομεῖον πρὸς περίθαλψιν δέκα τὰ μάλιστα ἐνδεῶν γραιῶν καὶ παρέχομεν ἄσυλον δυσὶν οἴκοις, ζῶσιν ἐν οἰκήμασιν ἰδίᾳ δυσμενέσι τῇ ὑγείᾳ. Πεποίθαμεν, ὅτι τοῦτο τὸ μικρὸν ἔργον αὐξήσει εἰς μέγα καὶ εὖ κατηρτισμένον. Πιστεύομεν, ὅτι ὁ Κύριος βοηθήσει τῷ συλλόγῳ ἡμῶν ἱδρῦσαι τὸν οὕτως

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀναγκαῖον οἶκον πρὸς περίθαλψιν τῶν ἄνευ ἀσύλου καὶ ἀβοηθήτων. Πάντας τοὺς πένητας ὁ σύλλογος ἡμῶν βεβαίως οὐ ποιήσει πλουσίους, ἀλλὰ μέλλει παρέχειν τοῖς ἀληθῶς ἐνδεέσι ψηλαφητήν, πραγματικὴν βοήθειαν, καὶ ὡς εὐτυχεῖς ἡμεῖς, ἱδρύσοντες οἶκον, ἐν ᾧ εὑρήσουσιν ἄσυλον πᾶσαι αἱ τὰ μάλιστα ἀβοήθητοι γραῖαι τῆς παροικίας ἡμῶν. Ἐν τούτῳ τῷ οἴκῳ ἱδρυτέα ἐργαστήρια διὰ τὰς πτωχὰς ἐργάτιδας· αὐταί, ὡς αἱ 25 γυναῖκες, αἱ νῦν ἐργαζόμεναι ἐν τῷ ἐργαστηρίῳ τῆς Σχολῆς ἡμῶν, μέλλουσι καθέζεσθαι οὐκ ἐν πνιγηραῖς καὶ ὑγραῖς καλίαις, ἀλλ' ἐν θερμῷ καὶ φωτεινῷ οἰκήματι. Ἐν καιρῷ πλημμύρας ταῦτα τὰ ἐργαστήρια δεῖ εἶναι ἄσυλον τοῖς παιδίοις τῶν ζώντων ἐν τοῖς τῷ ὕδατι βεβυθισμένοις οἴκοις. Οἱ κάτοικοι τῆς Γαβάνης ὀφείλουσιν εἰδέναι, ποῦ δύνανται εὑρεῖν καταγώγιον καὶ νέοι καὶ γέροντες κατ' ἐκείνην τὴν ὥραν, ὅτε ἡ πλήμμυρα ἄρξεται ἐν Γαβάνῃ. Τοιοῦτος οἶκος ἔσται μεγάλη εὐποιΐα διὰ τὴν Γαβάνην. Ἐὰν οἱ πόροι ἐπιτρέψωσιν, δυνατὸν ἔσται προσαρμόσαι οἴκημα διὰ τὰ μικρὰ παιδία ἐν καιρῷ τῆς ἐργασίας τῶν μητέρων αὐτῶν ἐν τῷ ἐργαστηρίῳ, ἢ ἐργοστασίῳ. Εἶτα δυνατὸν ἔσται ἱδρῦσαι κεχωρισμένα τινα μικρὰ οἰκήματα πρὸς τοποθέτησιν δωρεὰν ἢ ἀντὶ μικρᾶς πληρωμῆς ἐκείνων τῶν οἴκων, οἵτινες ἕνεκα τυχαίων αἰτιῶν μέλλουσι χρήζειν ἰδίας προσκαίρου βοηθείας. Ὁ θάνατος ἢ ἡ βαρεῖα ἀσθένεια τῶν γονέων ἀπεργάζεται οὐ σπανίως τὰ τῶν παιδίων καὶ ἰδίᾳ τῶν μικρῶν τὰ μάλιστα χαλεπά. Βοήθειαν ταχεῖαν αὐτοῖς δύναται κρεῖσσον παντὸς παρασχεῖν ἡ παροικιακὴ εὐποιΐα. Διὰ παράδειγμα οὐ δεῖ μακρὰν πορεύεσθαι. Εἴχομεν τρία παιδία· ὁ πατήρ, κλειδοποιός, δεινῶς ἐβράχη τὴν 4 Νοεμβρίου. Ζῶν ἐν Γαβάνῃ εἰργάζετο ἐν τῇ νήσῳ Ἀπτεκάρσκῃ. Φοβηθεὶς τὴν πλήμμυραν, αὐτὸς ἔτρεχεν ἐν τῷ ὕδατι οἴκαδε πρὸς τὰ παιδία. Ἦν ἀσθενοῦς κράσεως, ἐνόσησεν ὑπὸ ψύχους, ἐπὶ δύο ἑβδομάδας ἠσθένει καὶ κατ' αὐτὰς ἀπεστάλη εἰς τὸ νοσοκομεῖον. Ἡ σύζυγος αὐτοῦ ἀπέθανε πρό τινων ἐτῶν. Τίνι ἄλλῳ, ἢ τῷ συλλόγῳ τῆς παροικίας προσήκει περιθάλπειν ταῦτα τὰ παιδία;

Εὐλογείτω ὁ Κύριος τὴν καλὴν ἐπιχείρησιν ἡμῶν.

Αὐτὸς βοηθῆσαι τῷ συλλόγῳ ἡμῶν θᾶττον συσκευᾶσαι τὸ οὕτως ἀναγκαῖον τοῖς πένησι καθίδρυμα. Ἐκ τοῦ ἁγίου ναοῦ ἐξήρχετο ἡ εὐεργεσία· βοήθημα παρείχετο πᾶσι τοῖς ἐνδεέσιν ἀδιακρίτως ὁμολογίας πίστεως. Οἱ οἰκεῖοι καὶ οἱ ξένοι ἐχρῶντο τοῖς δώροις τῆς εὐσπλαγχνίας, ἅπερ, ὡς αἱ ἀκτῖνες τοῦ ἡλίου, ἐξεχέοντο ἐπὶ πάντας. Ἂν ὁ Θεὸς δῷ,—ζήσομεν μέχρι τῆς ἱδρύσεως τοῦ γηροκομείου ἐν τῷ οἴκῳ ἡμῶν, νῦν δὲ συγχαίρομεν ὑμῖν, σεμναὶ γραῖαι, ἐπὶ τοῖς ἐγκαινίοις τούτου τοῦ πρὸς καιρὸν οἰκήματος καὶ ἐξ εἰλικρινοῦς καρδίας εὐχόμεθα ὑμῖν ζῆν ἐνταῦθα ἐν καλῇ ὑγείᾳ. Ἔστω ἐν ὑμῖν εἰρήνη καὶ συμφωνία. Φροντίζετε ἡ μία περὶ τῆς ἄλλης, περιθάλπετε τοὺς ἀσθενεῖς καὶ ἀδυνάτους καὶ εὔχεσθε ὑπὲρ ἐκείνων, οἵτινες ἐξ ἀγάπης πρὸς τὸν Σωτῆρα ἡμῶν Χριστὸν ἐξήγαγον ὑμᾶς ἐκ τῶν ὑγρῶν καὶ ψυχρῶν ὑπογείων εἰς θερμὰ καὶ φωτεινὰ ὑπερῷα. Ἡμεῖς δὲ χαίρομεν, ὅτι οὐκ ἐξηράνθη ἐν τῇ Ῥωσσικῇ γῇ ὁ εὐλογημένος ῥοῦς τῆς χριστιανικῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐσπλαγχνίας, ὅτι ἐν Ῥωσσίᾳ καὶ νῦν οὐκ ἐξέλιπε τὸ ἅγιον αἴσθημα τῆς συμπαθείας πρὸς τοὺς πενομένους, καὶ εὐχόμεθα πολλὰ τὰ ἔτη τοῖς γνωστοῖς καὶ ἀγνώστοις εὐεργέταις τῶν πενήτων ἡμῶν. (См. Прибавл. къ Церков. Вѣдом. за 1897 г. № 49. Стран. 1796—1798).

# XVII.

## ΛΟΓΟΣ

### πρὸς τοὺς μαθητὰς τοῦ ἐν Μόσχᾳ Ἐκκλησιαστικοῦ Σεμιναρίου Βηθανίας, τὴν 15 Φεβρουαρίου 1898 ἔτους.

Μεγάλη ἡ ἀπώλεια, ἣν ὑπέστη ἡ ἐπαρχία τῆς Μόσχας καὶ ἡ Ἐκκλησία τῆς πατρίδος. Μετὰ μακρὰν καὶ βαρεῖαν νόσον ἐν εἰρήνῃ ἀνεπαύθη ἐν Κυρίῳ ὁ μητροπολίτης Μόσχας Σέργιος. Ἐνισχυόμενος τῇ ζωοποιῷ δυνάμει τῶν ἁγίων Μυστηρίων, αὐτὸς ἀνδρείως ἠγωνίζετο κατὰ τῆς καιρίας νόσου. Καθήμενος ἐπὶ ἀνακλίντρου καὶ μὴ διδοὺς ἑαυτῷ ἀνάπαυσιν ἐν τῷ ἀνακλίνεσθαι, οὐκ ἐπαύετο ἀσχολούμενος περὶ τὰ πράγματα. Ἐσβέσθη, τηρήσας μέχρις αὐτῆς τῆς τελευτῆς ἐναργῆ συνείδησιν. Μέχρις οὗ ὁ τάφος καλύψῃ τὸ φθαρτὸν αὐτοῦ λείψανον, πειραθῶμεν ἐν ὀλίγοις ὑποτυπῶσαι τὸ πρόσωπον αὐτοῦ. Ὢν τρόφιμος τῆς ἀρχαίας Ἐκκλησιαστικῆς Σχολῆς, εἷς ἐκ τῶν κρεισσόνων μαθητῶν τοῦ ἀειμνήστου μητροπολίτου Φιλαρέτου, ὁ ἀναπαυθεὶς κατὰ τὴν πολυετῆ ἱεραρχικὴν διακονίαν αὐτοῦ μετὰ σοφῆς ἐπιμελείας ἐπειρᾶτο ὀχυροῦν τὴν ὀρθὴν διδασκαλίαν τῆς πίστεως ἀπὸ τῶν αὐθαιρέτων γνωμῶν, τῶν δυναμένων διασαλεῦσαι τὴν εἰρήνην τῆς Ἐκκλησίας, ἦν ζηλωτὴς ὑπέρμαχος τῆς ἀκλινοῦς ἐκπληρώσεως τῶν κανόνων τῶν συνόδων καὶ τῶν ἀποστόλων. Παιδαγωγηθεὶς ἐν τῇ Σχολῇ τῆς ὑπακοῆς ταῖς διατάξεσι τῆς Ἐκκλησίας, αὐτὸς οὗτος ἦν ὑπήκοος αὐταῖς μέχρι τέλους τοῦ βίου αὐτοῦ καὶ ἀπῄτει ὑπακοὴν παρὰ πάντων τῶν ὑποτεταγμένων, ἐσέβετο τὸν νόμον καὶ οὐκ ἠνείχετο τὴν αὐθαιρεσίαν. Ἐπιμελῶς ἐφύλαττε τὰς καλὰς διαθήκας τῆς ἀρχαιότητος καὶ ἐμερίμνα περὶ τοῦ κάλλους καὶ τῆς εὐπρεπείας τῆς Ἐκκλησιαστικῆς τάξεως. Ἦν ἐχθρὸς πάσης ἐξαιρέσεως. Εἰς τὴν αἴτησιν αὐτῷ ἐπιτρέψαι τὸ μὴ ἐπιτετραμμένον ὡς ἐξαίρεσιν ἀπεκρίνατό ποτε: «οὐκ οἶδα, τίνι καὶ πότε δεῖ ποιεῖν ἐξαιρέσεις, καὶ διὰ τοῦτο οὐ ποιῶ αὐτάς». Ὁ μακαρίτης οὐκ ἠγάπα φράσεις. Ὁ λόγος αὐτοῦ διεκρίνετο τῇ ἀκριβείᾳ καὶ τῇ ἐναργείᾳ. Αὐτὸς οὐκ ἠνείχετο τὸ μὴ ἀληθές, καί, ὅτε ἐδίσταζε περὶ τῆς ἀκριβείας τοῦ ἀνακοινουμένου, λίαν τεχνικῶς προὔτεινε τῷ συνομιλητῇ ἐρωτήσεις, οὐ σπανίως ἐκδηλούσας τὸ σφαλερὸν ἢ τὸ μὴ ἀκριβὲς τῶν ἀνακοινουμένων εἰδήσεων. Ὁ ἀναπαυθεὶς ἦν αὐστηρὸς πρὸς ἑαυτόν, ἦν αὐστηρὸς καὶ πρὸς τοὺς ἄλλους, ἰδίᾳ πρὸς ἐκείνους, οἳ ἐν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῖς ἐνεργείαις αὐτῶν ἐξεδήλουν αὐθάδη καὶ κακὴν βούλησιν. Οὐ σπανίως ἐγίνετο μᾶλλον δεινὸς ἐν τοῖς λόγοις αὐτοῦ, ἢ αὐστηρὸς ἐν τοῖς βουλεύμασι, καὶ πολλοὶ ἐξεδέχοντο τὴν ἱεραρχικὴν αὐτοῦ σεμνότητα ὡς χαλεπὴν σκυθρωπότητα. Πρὸς τοὺς τυχὸν ἐμπεσόντας εἰς ἁμάρτημα ἦν συγκαταβατικός. Οὐκ ἠγάπα τὴν μεγαλοπρεπῆ λαμπρότητα καὶ πολυτέλειαν τῶν δωματίων, προῃρεῖτο τὴν ἁπλῆν, σεμνὴν κατασκευὴν τοῦ μοναχικοῦ κελλίου. Οὐκ ἔστεργε τὸ μεγάλης τιμῆς ἔνδυμα, προῃρεῖτο τὴν εὐπρέπειαν τῶν ἱερῶν ἀμφίων, ἢ αὐτό, λέγων, ὅτι τὸ κάλλος τῶν ὑφασμάτων αὐτῶν συντελεῖ τῇ εὐπρεπείᾳ τῆς Ἐκκλησιαστικῆς λειτουργίας καὶ ἀναφέρεται οὐ πρὸς τὸν περιβεβλημένον αὐτά, ἀλλὰ πρὸς τὸν Κύριον. Αὐτῷ δὲ καὶ ἐπειρᾶτο διακονεῖν, καθόσον αἱ δυνάμεις ἐπέτρεπον. Περὶ πολλοῦ ἐποιεῖτο τὴν προσευκτικὴν ὁμιλίαν μετὰ τῆς ποίμνης, ἀσμένως ἐτέλει μακρὰς λειτουργίας, οὐκ ἀπέκαμνε ταῖς πολλῶν βερστίων πορείαις μετὰ σταυροῦ καὶ μετ' ἀγάπης ηὐλόγει πάντας τοὺς προσκυνητάς, ὅσοι καὶ ἂν ἦσαν αὐτοί.

Οὐ καιρὸς διεξέρχεσθαι νῦν τὸ κεφάλαιον τῶν πεπραγμένων ὑπὸ τοῦ ἀναπαυθέντος. Ἀναμνησθῶμεν μόνον ὧν ἦμεν αὐτόπται ἔργων. Ὁ ἀείμνηστος δεσπότης εὖ ἐγίνωσκε, πόσον προσφιλὴς ὁ ναὸς ἐν Ῥωσσίᾳ τῷ πιστεύοντι, καὶ οἵαν θλῖψιν ἐνεποίησε τοῖς ὀρθοδόξοις ἡ εἰκῇ κλεῖσις πολλῶν παροικιῶν. Εἰδὼς τοῦτο, ὁ ἀναπαυθεὶς ἰδίᾳ ἀγάπῃ εἰργάσατο τὴν ἀποκατάστασιν τῶν κεκλεισμένων παροικιῶν καὶ αὔξησιν τοῦ προσωπικοῦ τοῦ κλήρου. Κληθεὶς εἰς χειραγωγίαν τῶν ἔργων τῆς ἐπιτροπῆς ἐπὶ τῷ καταρτισμῷ τῶν τοῦ κλήρου τοῦ στρατοῦ, ὁ ἀναπαυθεὶς εἰσήνεγκεν εἰς τοῦτο τὸ ἔργον τὴν πολυμερῆ γνῶσιν τῶν κανόνων καὶ τῶν διατάξεων τῶν συνόδων καὶ τῶν ἀποστόλων, καὶ συνετέλεσε τῷ καθορισμῷ τῶν δεουσῶν σχέσεων μεταξὺ τῶν ἱερέων τοῦ στρατοῦ καὶ τῶν ἀρχιερέων τῶν ἐπαρχιῶν. Προσφιλὴς ἦν αὐτῷ ὁ μέγας τῆς Κοιμήσεως καθεδρικὸς ναὸς ἐν Μόσχᾳ. Ἐφλέγετο τῷ πόθῳ ἀποκαταστῆσαι ἐν αὐτῷ τὴν προτέραν εὐπρεπῆ τάξιν τῶν ἐκκλησιαστικῶν λειτουργιῶν ἐν πάσῃ τῇ εὐπρεπείᾳ καὶ τελειότητι. Ταῖς φροντίσιν αὐτοῦ ὁ κατάλογος τοῦ καθεδρικοῦ ναοῦ ηὐξήθη. Ἐπιμελῶς ἐξέλεγε τοὺς ἱκανοὺς ἀναγινώσκειν καὶ ψάλλειν πρεσβυτέρους καὶ διακόνους, καὶ αὐτοὶ εὐφώνως ἔψαλλον αὐτῷ τοὺς ἐπιταφίους ὕμνους. Παρὰ τὸ προβεβηκὸς τῆς ἡλικίας αὐτὸς οὐκ ἐγίνωσκε κόπωσιν ἐν ταῖς ἀσχολίαις, ταῖς ἀφιερωμέναις τούτοις τε καὶ πολλοῖς ἄλλοις ἔργοις, ἀνατιθεμένοις αὐτῷ ὑπὸ τῆς ἁγιωτάτης Συνόδου, καὶ διετέλει συνάμα φέρων ἄνευ στεναγμοῦ τὸ βάρος τῆς κυβερνήσεως τῶν κατὰ διαδοχὴν ἐμπιστευομένων αὐτῷ ἐπαρχιῶν. Ἡ μέριμνα τοῦ ἀναπαυθέντος περὶ τῆς εὐταξίας τῆς κυβερνήσεως τῆς ἐπαρχίας ἐξεφράσθη ἐν τῇ οἰκοδομῇ νέου λαμπροῦ κτιρίου τῆς ἐν Μόσχᾳ Ἐκκλησιαστικῆς Βουλῆς (Consistorium) καὶ ἐν τῇ ἐξασφαλίσει τῶν ὑπαλλήλων αὐτῆς συμπληρωματικοῖς μισθοῖς. Λόγου γενομένου περὶ τῶν τελευταίων ἐτῶν τοῦ βίου αὐτοῦ, ἀδύνατον σιωπῆσαι τὰς φροντίδας τὰς ὑπ' αὐτοῦ ἀφιερωθείσας τῇ οἰκοδομῇ ἐν τῇ πατρίδι Τούλοις Ἐκκλησίας καὶ δύο μεγάλων παρ' αὐτῇ Σχολῶν τῆς Ἐκκλησιαστικῆς παροικίας. Διὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῶν ἐλευθερίων συνδρομῶν τοῦ ἀναπαυθέντος ἔν τινι τῶν πενιχρῶν προαστείων τῶν Τούλων ἐγείρεται ὡραία Ἐκκλησία καὶ πέριξ αὐτῆς ἐν τῷ περιβόλῳ τῆς Ἐκκλησίας δύο εὐρύχωρα κτίρια, ἐν οἷς διδάσκονται ὑπὲρ τὰ 200 πτωχὰ παιδία. Δοκιμάσας ἐν ἑαυτῷ τὸ χαλεπὸν τῆς νόσου, ἀφιέρωσε τὰς τελευταίας ἡμέρας τοῦ βίου αὐτοῦ ταῖς σκέψεσι περὶ ἱδρύσεως ἐν Μόσχᾳ ἀσύλου διὰ τοὺς ἀνιάτως ἀσθενεῖς μετὰ οἰκιακῆς Ἐκκλησίας εἰς τιμὴν τοῦ Ὁσίου Σεργίου. Καὶ πρὸ τῆς τελευτῆς ἐπί τινας ὥρας ὁ Κύριος ἔπεμψεν αὐτῷ μεγάλην παρηγορίαν. Συλλέξας τὸ ὑπόλοιπον τῶν δυνάμεων, ἐχάραξε τὸ ὄνομα αὐτοῦ ἐν τῷ πρακτικῷ, τῷ ἐξασφαλίζοντι τὴν ὕπαρξιν τοῦ ἀσύλου, ἐν ᾧ μέχρις ἑκατοντάδος ἀνιάτως πασχόντων μέλλουσιν εὔχεσθαι ὑπὲρ ἀναπαύσεως τῆς ψυχῆς τοῦ σεβασμιωτάτου μητροπολίτου Μόσχας Σεργίου, τοῦ ποθήσαντος ἀνακουφῖσαι τὴν βαρεῖαν αὐτῶν τύχην. Εὐξώμεθα δὲ καὶ ἡμεῖς, οἱ νῦν ἐνταῦθα συνελθόντες, ἀνάπαυσιν, ἡσυχίαν καὶ μακαρίαν ζωὴν ἐν ταῖς οὐρανίαις μοναῖς τῷ ἀειμνήστῳ δεσπότῃ Σεργίῳ.

Λυπηρὸς καιρὸς ἐπέστη ἐφ' ἡμᾶς. Ἑβδομάδα πρὸ τῆς τελευτῆς τοῦ ἱεράρχου Σεργίου ἀπροσδοκήτως ἐξέλιπεν ὁ πρωθιεράρχης τῆς Σερβικῆς Ἐκκλησίας, ὁ δεσπότης Μιχαήλ, ὁ μητροπολίτης Σερβίας καὶ Βελιγραδίου. Ἐσβέσθη ἐν καμάτῳ ἐκ τοῦ ἀγῶνος κατὰ τῶν ἰσχυρῶν ἐχθρῶν, τῶν καταπιεζόντων τὴν Σερβικὴν Ἐκκλησίαν. Τρόφιμος ὢν ῥωσσικῆς Ἐκκλησιαστικῆς Σχολῆς, ὁ μητροπολίτης Μιχαὴλ ἀναλλοιώτως ἐξεδήλου ἐν τῇ ἱεραρχικῇ αὐτοῦ διακονίᾳ ὀρθὴν κατανόησιν τῆς οἰκουμενικῆς ἀξίας τῆς Ὀρθοδοξίας καὶ τῆς σχέσεως αὐτῆς πρὸς τὴν ἱστορικὴν τύχην τῶν κρατῶν καὶ τῶν ἐθνῶν. Τὴν ἀλήθειαν τῆς Ὀρθοδοξίας ὠχύρου, ἐπιλανθανόμενος ἑαυτοῦ, καὶ τῷ θριάμβῳ τῆς δικαιοσύνης ἐθυσίαζε τὴν δόξαν αὐτοῦ, τὴν ὑγείαν καὶ τὴν ἀνάπαυσιν. Ἀποδιδοὺς πᾶσι τὸ ὀφειλόμενον, οὐκ ἠβούλετο ὑποταγῆναι ταῖς ἀνόμοις ἐπιβουλαῖς τῶν τυχόντων κυβερνητῶν, οἵτινες, μεμεθυσμένοι τῇ ἐξουσίᾳ, τῇ εἰκῇ ληφθείσῃ ὑπ' αὐτῶν, ἐπελάθοντο τοῦ σεβασμοῦ πρὸς τοὺς ἁγίους κανόνας τῆς Ἐκκλησίας. Ὁ ὑπέρμαχος τῆς δικαιοσύνης οὐχ ὑπετάσσετο τοῖς ἀνόμοις αὐτῶν κελεύσμασιν. Πιστὸς τῷ ἀρχιερατικῷ ὅρκῳ, προείλετο τὴν ἐξορίαν καὶ τὴν περιπλάνησιν πέραν τοῦ ὁρίου τῆς φίλης πατρίδος ἢ τὸ ἡσύχως καθέζεσθαι ἐν τῇ ἕδρᾳ, τῇ σεσαλευμένῃ ὑπὸ τῶν ἀκαθάρτων χειρῶν τῶν ἐχθρῶν τῆς Ἐκκλησίας. Πάσαις ταῖς δυνάμεσι τῆς καθαρᾶς ψυχῆς αὐτοῦ ἠγάπα ὁ μητροπολίτης Μιχαὴλ τὸν λαὸν αὐτοῦ. Ἀκουράστως αὐτὸς ἐκήρυττεν αὐτῷ, ὅτι ἡ Ὀρθοδοξία ἐτήρησε τὴν ἠθικὴν αὐτοῦ δύναμιν, ἐφύλαξεν αὐτὸν ἀπὸ τῆς στερήσεως τοῦ προσώπου αὐτοῦ, ἔσωσεν ἀπὸ τοῦ καταβροχθισμοῦ ὑπὸ τῶν ἐχθρικῶν αὐτῷ Τουρκικῶν καὶ Μαδιαρικῶν κυμάτων. Τὴν ὀρθόδοξον Ἐκκλησίαν ἐθεώρει ὡς τὸν λύχνον τὸν καθαρόν, τὸν φωτίζοντα τὴν ὁδὸν τῆς ἱστορικῆς ἀναπτύξεως τοῦ Σερβικοῦ λαοῦ καὶ ἐξασφαλίζοντα αὐτῷ πλείονα βαθμὸν τῆς ἠθικῆς δυνάμεως ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης καὶ τῆς ἀγάπης μετὰ τῆς ὁμοθρήσκου Ῥωσσίας. Καὶ ἐταράχθη ἡ μεγαλόψυχος καρδία τοῦ ἱεράρχου Μιχαήλ, μαθόντος τὸ νέον τέχνασμα τῆς λατινικῆς προπαγάνδας ἱδρῦσαι διὰ πονηρῶς κεχα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ραγμένης συνθήκης ἐν τῷ Βελιγραδίῳ, τῇ πρωτευούσῃ τῆς Σερβίας νέον φρούριον τῆς λατινικῆς ἰσχύος ἐν τῇ Βαλκανικῇ χερσονήσῳ. Τοῦτο τὸ τέχνασμα τῆς αὐλῆς τοῦ Πάπα ἐζόφωσε τὰς τελευταίας ἡμέρας τοῦ μητροπολίτου Μιχαήλ. Βαθείας λύπης πνέουσι τὰ γράμματα αὐτοῦ· αὐτὸς προέβλεπε τὸ ἄφευκτον τῆς παραβάσεως τῆς Ἐκκλησιαστικῆς εἰρήνης καὶ ἐθλίβετο ἐπὶ τούτῳ ἰδίᾳ, διότι ἔβλεπεν, ὅτι ἡ πολύτροπος ἐπιβουλὴ ἐπλήθυνε τὰς ἀφορμὰς πρὸς διαφωνίαν μετὰ τῶν Βουλγάρων. Οὐ περαιτέρω τῆς Τετάρτης, τὴν 4 Φεβρουαρίου ἐτέλεσεν ἐν τῷ καθεδρικῷ ναῷ τοῦ Βελιγραδίου τὴν θείαν λειτουργίαν, προὐχειρίσατο διάκονον εἰς πρεσβύτερον καὶ περὶ τὸ τέλος τῆς λειτουργίας ἠσθένησε τόσον, ὥστε μόλις ἀπεξέδυσαν αὐτόν. Οἱ ἰατροὶ εὗρον ἐν αὐτῷ φλόγωσιν τῶν πνευμόνων (περιπνευμονίαν). Ἡ νόσος ταχέως ἀπήγαγεν αὐτόν. Τὴν 5 Φεβρουαρίου αὐτὸς οὐκ ἦν. Ἡ ὀρφανωθεῖσα Σερβικὴ Ἐκκλησία κλαίει τὴν ἄωρον τελευτὴν αὐτοῦ. Θλίβεται ἐπὶ ταύτῃ τῇ χαλεπῇ ἀπωλείᾳ καὶ ἡ Ἐκκλησία τῆς Ῥωσσίας. Ἀπεβίωσεν ὁ Ἱεράρχης, ὁ πάντα τὸν βίον αὐτοῦ, ὅλον ἑαυτὸν ἀμερίστως ἀποδοὺς εἰς τὴν διακονίαν τῷ Κυρίῳ καὶ τῇ Ἐκκλησίᾳ Αὐτοῦ, ὁ ἀγαπήσας τὴν δικαιοσύνην πλέον τῶν τιμῶν, τὴν πιστότητα τῷ ἱεραρχικῷ καθήκοντι ὑπὲρ τὴν κενὴν καὶ μηδαμινὴν δόξαν, ὁ τιθεὶς οὐκ ἐν λόγοις, ἀλλ' ἐν ἔργῳ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ λαοῦ αὐτοῦ. Αἰωνία ἡ μνήμη εἴη σοι, κόσμημα καὶ δόξα τῆς Σερβικῆς Ἐκκλησίας, πολύτλα δέσποτα Μιχαήλ! Σὺ ἀγογγύστως ἔπασχες ὑπὲρ τῆς ἀληθείας, δίδαξον καὶ ἡμᾶς ἀκλονήτως ἀκολουθεῖν ὀπίσω σου! Ἡ εὐχὴ αὕτη ἰδίᾳ ἐπίκαιρος ὑμῖν, ὦ μαθηταὶ τοῦ Σεμιναρίου Βηθανίας, οἳ παρασκευάζεσθε ἀναδέξασθαι τὸν χρηστὸν ζυγὸν τῆς διακονίας Χριστῷ τῷ Σωτῆρι ἡμῶν καὶ τῇ ἁγίᾳ Αὐτοῦ Ἐκκλησίᾳ. Καὶ τί δεῖ εἰπεῖν ὑμῖν νῦν, ὅτε πάντες ἡμεῖς λελυπημένοι ταῖς χαλεπαῖς ἀπωλείαις, ἃς ὑπέστημεν. Ἐροῦμεν: μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, γίνεσθε ἔνθεοι ἐκ τῶν παραδειγμάτων αὐτῶν καὶ γίνεσθε σώφρονες τῇ ἀφοσιώσει αὐτῶν ἐκείναις ταῖς ἰδέαις, αἷς αὐτοὶ διηκόνησαν καθ' ἅπαντα τὸν βίον αὐτῶν. Ὑμῖν, προσφιλεῖς νεανίαι, δεῖ εἶναι δῆλον, ὅτι ὁ βίος ὑμῶν δύναται εἶναι ἐπωφελὴς τοῖς ἄλλοις, τῇ πατρίδι ὑμῶν καὶ τῇ ἁγίᾳ Ἐκκλησίᾳ, εἰ ὑμεῖς ἐν συνειδήσει καὶ ἐλλόγως, πλουτίζοντες ἑαυτοὺς ἐν τῷ Σεμιναρίῳ ταῖς γνώσεσι τῶν ἐπιστημῶν, ἃς διδάσκουσιν ὑμᾶς, ἔσεσθε ἐρρωμένοι ἐν τῇ ἀγάπῃ πρὸς τὴν ἁγίαν Ἐκκλησίαν, ἀναθρέψετε ἐν ἑαυτοῖς ἐκείνην τὴν εὐσεβῆ διάθεσιν τοῦ πνεύματος, ἣ δύναται ἠθικῶς ἀνυψῶσαι ὑμᾶς». Δηλώσας δὲ τὴν σπουδαιότητα τῆς μελλούσης κλήσεως τῶν μαθητῶν τοῦ Σεμιναρίου ὡς ποιμένων τῆς Ἐκκλησίας, ὁ ῥήτωρ κατέκλεισε τὸν παθητικὸν λόγον αὐτοῦ ταῖς λέξεσιν: «Ἄσωμεν δὴ τοῖς ἀειμνήστοις ἱεράρχαις Σεργίῳ καὶ Μιχαὴλ αἰώνιον μνήμην καὶ διὰ παντὸς σπουδάσωμεν φυλάξαι τὰς ἀναμνήσεις τοῦ βίου καὶ τῶν ἔργων αὐτῶν πρὸς ὄφελος τῆς ἁγίας Ἐκκλησίας. (См. Прибавл. къ Церк. Вѣдом. за 1898 г. № 8. Стр. 322—325. Срвн. Церк. Вѣстникъ за 1898 г. № 9 стр. 302).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# XVIII.

## ΛΟΓΟΣ

### τοῦ κ. Β. Κ. Σάβλερ, προεδρεύσαντος τῆς τῶν μελῶν τοῦ ἐν Πετρουπόλει εὐεργετικοῦ τῶν Σλαύων Συλλόγου συνελεύσεως, τῆς ἀφιερωθείσης τῇ μνήμῃ τοῦ μητροπολίτου Σερβίας Μιχαὴλ τὴν 11 Μαρτίου 1898 ἔτους.

Σεβασμιώτατε Δέσποτα, πανιερώτατοι ἀρχιποίμενες, σεβαστοὶ πατέρες, κυρίαι καὶ κύριοι!

Ἡ νῦν πανηγυρικὴ τῶν μελῶν τοῦ εὐεργετικοῦ τῶν Σλαύων Συλλόγου συνέλευσις ἀφιεροῦται τῇ μνήμῃ τοῦ ἐπιτίμου μέλους τοῦ Συλλόγου, τοῦ μεγάλου Ἱεράρχου τῆς Ὀρθοδόξου Ἐκκλησίας, τοῦ ἀρχιεπισκόπου Βελεγράδων, τοῦ μητροπολίτου Σερβίας Μιχαήλ, τοῦ ἐν εἰρήνῃ ἀναπαυθέντος ἐν Κυρίῳ τὴν 5 Φεβρουαρίου αὐτοῦ τοῦ ἔτους. Οὐχὶ στέφανον ἐξ εὐμαράντων ἀνθέων προσφέρομεν ἡμεῖς οἱ τιμῶντες αὐτὸν εἰς τὸ προσφιλὲς ἡμῖν μνῆμα αὐτοῦ, ἀλλὰ τῇ ἐξιστορήσει τῶν ἔργων αὐτοῦ πειρασόμεθα ἀποδοῦναι αὐτῷ τὴν δέουσαν τιμήν. Ὁ ἀείμνηστος δεσπότης Μιχαὴλ πάντα τὸν βίον ἀφιέρωσε τῇ διακονίᾳ τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ καὶ τῷ ἔθνει αὐτοῦ. Ὑπὲρ τῆς ἁγίας Ἐκκλησίας μετὰ χαρᾶς ὑφίστατο τὰς συμφορὰς καὶ τὰς στερήσεις. Πιστὸς τῷ ἀρχιερατικῷ ὅρκῳ, ἐφύλαττε τὴν Ἐκκλησίαν τῆς Σερβίας ἀπὸ τῶν ἀνόμων ἐπιβουλῶν τῶν ἀφρόνων κυβερνητῶν, τῶν πειρωμένων μεταβαλεῖν τὴν κανονικὴν αὐτῆς διοίκησιν. Τὴν ἀλήθειαν ὁ ἀναπαυθεὶς ἠγάπα μᾶλλον, ἢ τὴν κενὴν δόξαν, καὶ τὴν πικρίαν τῆς ἐξορίας προείλετο τῆς ἡσύχου οἴκοι διαμονῆς. Τὸν λαὸν τῆς Σερβίας ἠγάπα παντὶ σθένει τῆς καθαρᾶς ψυχῆς αὐτοῦ, ἐδίδασκεν αὐτὸν τὸν λαὸν στεῤῥῶς τηρεῖν τὴν πίστιν τῶν πατέρων, τὴν πίστιν τὴν ὀρθόδοξον· ἐν αὐτῇ ἤντλει ἠθικὴν ἰσχύν, ἀεὶ διατελῶν ἐν ἀδελφικῇ ἑνώσει μετὰ τῆς Ὀρθοδόξου Ῥωσσίας, ἣν ὁ δεσπότης πολλάκις ἐκάλει δευτέραν πατρίδα.

Καὶ ἰδοὺ τοῦτον τὸν μέγαν ἱεράρχην, τοῦτον τὸν μετ' αὐταπαρνήσεως ἀγωνιστὴν ὑπὲρ τῆς ἐθνικῆς ἰδέας συνήχθημεν νῦν τιμῆσαι. Ὁ πολλὰ ὑπὲρ τῆς δικαιοσύνης καὶ τῆς ἁγίας Ἐκκλησίας παθὼν ἱεράρχης Μιχαὴλ ἔστω ἡμῖν καὶ τῷ γένει τῶν Σλαύων τύπος ἐμπέδου ἀφοσιώσεως τῇ ὀρθοδόξῳ πίστει καὶ ἀφιλοκερδοῦς διακονίας τῷ ἀγαθῷ τοῦ λαοῦ. Σὺ τέθνηκας, ἀλλὰ πλήρεις ζωτικῆς ἰσχύος ἐκεῖναι αἱ μεγάλαι ἰδέαι, αἷς σὺ ἀνδρείως διηκόνησας, καὶ ἐμπνεόμενοι ὑπὸ τοῦ παραδείγματός σου, οἱ σοὶ μαθηταὶ καὶ τιμῶντές σε μέλλουσιν ἐργάζεσθαι εἰς δόξαν τῆς Ἐκκλησίας τῆς Ὀρθοδόξου καὶ εἰς ὄφελος τοῦ ῥωσσικοῦ τε καὶ σερβικοῦ ἔθνους. Διὰ παντὸς τηροῦντες ἀγάπην πρὸς τὸν ἀναπαυθέντα ἱεράρχην Μιχαήλ, ᾄσωμεν αὐτῷ αἰώνιον μνήμην.
(См. Прибавл. къ Церк. Вѣдом. за 1898 г. № 11, стр. 459—460).



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# XIX.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐπισκέψει τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Ταμπόβου πρὸς τοὺς ἐν αὐτῷ διδασκομένους, τὴν 14 Ἀπριλίου 1898 ἔτους.

Εἰρήνη τῷ Ἐκκλησιαστικῷ Σεμιναρίῳ Ταμπόβου, εἰρήνη τοῖς ἐνθάδε διδάσκουσιν, εἰρήνη τοῖς διδασκομένοις! Αὕτη ἡ χριστιανικὴ πρόσρησις, αὕτη ἡ εὐχὴ τῆς εἰρήνης παρίσταται ἰδίᾳ ἐπίκαιρος νῦν, ὅτε οὐκέτι ἐσίγησεν ἡ πασχάλιος ψαλμῳδία τῷ ἀναστάντι Χριστῷ τῷ Σωτῆρι, οὗ ἡ ἔλευσις ἤνεγκεν εἰρήνην τῇ γῇ καὶ εὐδοκίαν τοῖς ἀνθρώποις. Ἀνατέλλει ἐκ τοῦ τάφου Χριστὸς ὁ Κύριος, χαίρουσι τὰ πέρατα τῆς οἰκουμένης· Αὕτη ἡ ἁγία χαρὰ προσέστω καὶ ὑμῖν, φίλοι νεανίαι. Πολλάκις κατὰ τὴν παρελθοῦσαν τεσσαρακοστὴν προσείχετε ταῖς εὐχαῖς, ταῖς καλούσαις τοὺς Χριστιανοὺς εἰς ἀγῶνας ἐγκρατείας πρὸς ἐπίτευξιν ὑπ' αὐτῶν τοῦ ὑψίστου βαθμοῦ τῆς ἠθικῆς τελειότητος. Τοὺς νηστεύοντας σωματικῶς ἡ ἁγία Ἐκκλησία ἐκάλει νηστεύειν καὶ πνευματικῶς, ἐν ἐγκρατείᾳ ἀπὸ κακίας καὶ ἔριδος, ἐκάλει ἐργάζεσθαι ἐν τῷ φωτὶ τὰ ἔργα τοῦ Θεοῦ, αὐξῆσαι τὰ δῶρα τῆς ψυχῆς, καθαρῖσαι τὴν ψυχήν, τελειοῦσθαι τῇ ἀγάπῃ. Ἡ κλῆσις αὕτη ἔχει ἰδίαν ἀξίαν δι' ὑμᾶς, τοὺς μέλλοντας ποιμένας τῆς Ἐκκλησίας καὶ διδασκάλους τοῦ λαοῦ. Παρασκευαζόμενοι εἰς ταύτην τὴν μεγάλην διακονίαν, ὀφείλετε ἐν συνειδήσει καὶ ἀεὶ σπουδάζειν περὶ ἑαυτούς. Ὅσῳ μεγάλαι καὶ ποικίλαι καὶ ἂν ὦσιν αἱ γνώσεις, ἃς ὑμεῖς προσκτᾶσθε ἐν τῷ Σεμιναρίῳ, ὅμως πρὸς ἐπίδοσιν τῆς διακονίας ὑμῶν ἀνάγκη, ὅπως ἡ βούλησις ὑμῶν προσκτήσηται τὴν δέουσαν ἐμμονὴν καὶ σταθερότητα. Ἡ ἔλλογος πειθαρχία παρίσταται ἀναγκαία πρὸς τοῦτο συνθήκη. Ἡ ἐξωτερικὴ πειθαρχία, ἀναγκάζουσα τοὺς ἀνθρώπους καθ' ὡρισμένον χρόνον ἐγείρεσθαι, ἀσχολεῖσθαι περὶ τὰς ἐπιστήμας, ἐσθίειν καὶ πίνειν, ἀναπαύεσθαι καὶ κοιμᾶσθαι, εἰσφέρει τῷ ἡμερησίῳ βίῳ ἐκείνην τὴν τάξιν, ἥτις ἀπολύτως ἀναγκαιοῖ πρὸς κανονικὴν πορείαν αὐτοῦ. Χαλεπὸν ἐνίοτε ἐγείρεσθαί τινι, βουλομένῳ κοιμᾶσθαι, ἢ καθόλου ποιεῖν οὐχ ὅπερ ἐβούλετο ἂν ποιεῖν. Ἀλλ' ἄνευ τῆς τηρήσεως τῆς προσηκούσης πᾶσι τάξεως παρίσταται ἀκατανόητον πᾶν κοινὸν ἔργον, καλοῦν εἰς ἐργασίαν πολλούς. Εἰ ἕκαστος αὐτῶν ἤρχετο ποιῶν, ὅ,τι ἂν αὐτῷ ἐπέρχηται, τότε οἱ ἄνθρωποι εἰκότως ἐκώλυον ἂν ἀλλήλους. Ἡ ἐν τῷ βίῳ ἀταξία ἐστὶ μία τῶν ἀνιαρῶν ἐλλείψεων τῶν ὀλίγον ἀνεπτυγμένων ἀνθρώπων· ἀνάγκη περὶ πολλοῦ ποιεῖσθαι τὴν τάξιν, ταύτην τὴν πολύτιμον συνθήκην τῆς ἀναπτύξεως παντὸς λογικοῦ ὀργανισμοῦ. Μετὰ ἔτι πλείονος προσοχῆς δέον ἀναφέρεσθαι πρὸς τὴν ἐσωτερικὴν πειθαρχίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁ καλὸς μαθητὴς τοῦ Σεμιναρίου ὀφείλει στηριχθῆναι ἐν τῇ ἀγάπῃ πρὸς τὸ καλόν· παρασκευαζόμενος χειραγωγεῖν τοὺς ἄλλους κατὰ τὴν ὁδὸν τῆς πνευματικῆς αὐτῶν τελειότητος, ὀφείλει ὀξυδερχῶς παρακολουθεῖν τῇ καθαρότητι τῶν λογισμῶν καὶ τῶν βουλῶν αὐτῶν. Ὀφείλει ἀεὶ εἶναι αὐστηρὸς πρὸς ἑαυτὸν καὶ μὴ διδόναι ἔκτασιν ἐκείναις ταῖς ἐπιθυμίαις καὶ ταῖς ὁρμαῖς, αἵτινες δύνανται γενέσθαι ἕξεις, μὴ ἁρμόζουσαι τῇ ὑψηλῇ αὐτοῦ κλήσει, καὶ ἱκαναὶ γεννῆσαι σκάνδαλον, ἀποκλεῖον τὸ δυνατὸν τῆς ῥοπῆς τοῦ ποιμένος πρὸς τοὺς ποιμαινομένους. Μὴ ἄχθεσθε ἐπὶ ταῖς πειθαρχικαῖς ἀπαιτήσεσιν,—αὐταὶ ἐπωφελεῖς πρὸ παντὸς ὑμῖν αὐτοῖς· μὴ φρονεῖτε, ὅτι αὐταὶ συνετάχθησαν ὑπὸ τῆς ἀρχῆς πρὸς ἡδονὴν ἑαυτῆς. Αὐταὶ ἀναγκαῖαι πρὸς ἐπίῤῥωσιν καὶ ἀνάπτυξιν τῆς βουλήσεως ἡμῶν ἀκριβῶς οὕτως, ὡς ὁ καθαρὸς ἀὴρ ἀναγκαῖος πρὸς ζωὴν τοῦ φυτοῦ. Ἡ μετὰ τῶν ἀνθρώπων συμβίωσις ἐπιτίθησιν ἡμῖν πολλὰ διὰ τὴν πρὸς αὐτοὺς σχέσιν καθήκοντα, καὶ ὅσῳ μᾶλλον ὁ ἄνθρωπος ἀνεπτυγμένος καὶ μεμορφωμένος, τόσῳ μᾶλλον αὐτὸς ἐθίζει ἑαυτὸν εἰς περιορισμούς τινας καὶ στερήσεις. Ἀλλ' ἀφιστάμενος τῆς ἑαυτοῦ εὐμαρείας, αὐτὸς χρῆται τοῖς κέρδεσι, τοῖς προερχομένοις αὐτῷ ἐκ τοῦ αὐτοπεριορισμοῦ τῶν ἄλλων ἀνθρώπων. Αὕτη ἡ ἀμοιβαιότης τῶν παραχωρήσεων ἀνακουφίζει τὸν βίον τῶν ἀνθρώπων, καὶ διὰ τοὺς χριστιανοὺς ἔχει ἰδίαν ἀξίαν, διότι προφυλάττει αὐτοὺς ἀπὸ τοῦ ἐγωϊσμοῦ, στηρίζει ἐν τῇ ἕξει τοῦ σκέπτεσθαι οὐ μόνον περὶ τοῦ ἐργάζεσθαι τὸ καλὸν τοῖς ἀνθρώποις, ἀλλὰ καὶ περὶ τοῦ μηδαμῶς λυπεῖν αὐτούς, μὴ παρέχειν αὐτοῖς θλίψεις. Ἡ καλὴ πειθαρχία ἀναπτύσσει τὴν βούλησιν τοῦ ἀνθρώπου, καὶ ὁ βουλόμενος ἄγειν τοὺς ἄλλους ὀφείλει πρὸ παντὸς εἰδέναι ἄγειν ἑαυτόν. Δύναται ὑποτάσσειν τοὺς ἄλλους τῇ ἑαυτοῦ βουλήσει ἐκεῖνος, ὃς αὐτὸς ἔμαθεν εἶναι εὐπειθής. Ἡ δύναμις τῆς βουλήσεώς ἐστι μέγας ἠθικὸς κινητὴρ τοῦ ἀνθρώπου· αὕτη ἡ δύναμις, ὡς καὶ πᾶσα ἄλλη δύναμις, ἀναπτύσσεται διὰ τῆς ἀσκήσεως. Ἡ καλὴ σχολή, ἡ καλὴ ἀγωγὴ συντελοῦσι τῇ στηρίξει ταύτης τῆς δυνάμεως. Ἄνευ τῆς βουλήσεως ἀδύνατον ἐπεξεργάζεσθαι ἐν ἑαυτῷ χαρακτῆρα, καὶ ἄνευ χαρακτῆρος ὁ ἄνθρωπος οὐ δύναται ὑπερβαλεῖν τὰ κωλύματα, τὰ ἀπαντῶντα ἐν τῇ ὁδῷ τοῦ βίου αὐτοῦ. Περὶ τοῦ αἰῶνος ἡμῶν λέγουσιν, ὅτι αὐτὸς ἐνδεὴς ἀνθρώπων μετὰ χαρακτῆρος. Περισσὸν ἡμῖν διδόναι ἔκτασιν ἐπὶ τούτῳ ἀνωφελέσι στεναγμοῖς, ἀλλ' ἀνάγκη ἑκάστῳ ἡμῶν σπουδάζειν ἐπεξεργάζεσθαι ἐν ἑαυτῷ ταύτην τὴν ἔσω δύναμιν. Ὁ νοῦς ὑμῶν πεπλουτισμένος παντοίαις γνώσεσι, τὸ ἠθικὸν αἴσθημα ὑμῶν δεόντως ἀνεπτυγμένον, ὑμεῖς ἐν συνειδήσει γινώσκετε τὸ καλὸν καὶ τὸ κακόν, ἀλλ' ἀνάγκη ὑμῖν ἔχειν βούλησιν, τείνουσαν πρὸς μόνον τὸ καλόν. Ὀφείλετε τείνειν πρὸς τοῦτο, ὅπως στηριχθῆτε ἐν μόναις ταῖς καλαῖς ἕξεσιν. Αὕτη ἡ διηνεκὴς σπουδὴ περὶ ὑμᾶς αὐτοὺς ἐν τῇ ἐπιτεύξει τῶν προτεθειμένων σκοπῶν μεταδώσει ἐμμονὴν τῷ χαρακτῆρι ὑμῶν, οἱονεὶ ἐνδύσει ὑμᾶς ἰσχυρὸν θώρακα, ἱκανὸν φυλάττειν ὑμᾶς ἀπὸ τῶν δεινῶν καὶ τῶν συμφορῶν τῶν ἔξωθεν ἐπερχομένων. Αὕτη ἡ διηνεκὴς σπουδὴ περὶ ὑμᾶς αὐτοὺς ἀποβήσεται ὑμῖν μᾶλλον εὐχερής, εἰ μέλλετε



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐμφορεῖσθαι τῆς γνώσεως ἐκείνου τοῦ ὑψηλοῦ ἰδανικοῦ, ᾧ καλεῖσθε διακονεῖν. Ὑμεῖς παρασκευάζεσθε εὐαγγελίζεσθαι τὴν βασιλείαν τοῦ Θεοῦ, καλεῖσθε κηρύττειν τὴν αἰώνιον ἀλήθειαν, εἶναι χειραγωγοὶ ἀνθρώπων κατὰ τὴν ὁδὸν εἰς τὴν αἰώνιον σωτηρίαν, διδάσκειν αὐτοὺς τὴν δικαιοσύνην, στηρίζειν ἐν τῇ ἀγάπῃ τοῦ Χριστοῦ. Οἷον μέγα καὶ ἐπιφανὲς ἔργον! πῶς μὴ περὶ πολλοῦ ποιεῖσθαι τὸ δυνατὸν τοῦ συντελεῖν τῇ ἀναπτύξει τῶν ἠθικῶν δυνάμεων τῶν ἀνθρώπων! Τὸ ἔργον τοῦτο ἀσυγκρίτως ὑπέρτερον καὶ ἐπαγωγότερον τῶν μόχθων, τῶν ἀφιερωμένων μόνον τῇ ἐπιτυχίᾳ ὑλικῶν τινῶν ἀγαθῶν.

Ἡ ὀρθὴ γνῶσις τῶν ἰδεῶν, αἷς ὑμεῖς ὀφείλετε διακονεῖν, ἀναγκαία πρὸς καρποφορίαν τῶν ἔργων ὑμῶν. Τὸ ἰδανικὸν οὐ μόνον φανός ἐστι τῇ συνειδήσει,—αὐτὸ σύναμα δύναμίς ἐστι, κινοῦσα τὴν βούλησιν ἡμῶν, φωτίζει καὶ ζωογονεῖ, χειραγωγεῖ τὰς σκέψεις ἡμῶν καὶ ἐπάγεται τὴν καρδίαν ἡμῶν. Ὑμῖν, προσφιλεῖς νεανίαι, βεβαίως γνωστόν, πόσον ηὔξησεν ἡ ἰσχὺς τῆς Ὀρθοδόξου Ἐκκλησίας κατὰ τὸν τελευταῖον χρόνον. Ἡ ἀπήμαντος καθαρότης τῆς διδασκαλίας τοῦ Εὐαγγελίου, ἡ πεφυλαγμένη ὑπ' αὐτῆς, οἱ μόχθοι τῶν θεολόγων αὐτῆς, ὁ πλοῦτος καὶ τὸ κάλλος τῶν ὑμνῳδιῶν αὐτῆς, τὸ μεγαλοπρεπὲς καὶ τὸ οἰκοδομητικὸν τῶν ἀκολουθιῶν αὐτῆς ἀεὶ μᾶλλον ἐπισπῶνται τὴν προσοχὴν τῶν ἑτεροδόξων χριστιανῶν. Ἔτι οὐ πρὸ πολλοῦ μεγάλην χαρὰν ὑπέστησαν τὰ πιστὰ τέκνα τῆς ὀρθοδόξου Ἐκκλησίας Κατὰ τὴν ἑορτὴν τοῦ Εὐαγγελισμοῦ ἐν τῇ Λαύρᾳ τοῦ Ἀλεξάνδρου Νεύσκη ἡνώθη τῇ Ὀρθοδοξίᾳ εἷς τῶν Νεστοριανῶν ἐπισκόπων, Ἰωνᾶς ὁ Σουπουργάνης καὶ οἱ σὺν αὐτῷ ἀφικόμενοι ἐξ Οὐρμίας. Ἐπὶ μακρόν, λέγει ὁ ἐπίσκοπος Ἰωνᾶς, ἐπλανώμεθα ἐν τῷ σκότει καὶ εὐχαριστοῦμεν τῷ Θεῷ, ὅτι εὕρομεν εἰρηνικὸν λιμένα ἐν τῇ ἑνώσει μετὰ τῆς ὀρθοδόξου Ἐκκλησίας. Οὐ πρὸ πολλοῦ ἐτελέσθη ἡ ἵδρυσις νέας ὀρθοδόξου ἱεραποστολῆς ἐν Κορέᾳ· ἀκμάζει ἡ ἱεραποστολὴ ἡμῶν ἐν Ἰαπωνίᾳ, καὶ ἀκουσίως ἀναφύεται ἡ ἐρώτησις: μὴ ἡ ὀρθόδοξος Ἐκκλησία κέκληται εἰς εὐρεῖς ἱεραποστολικοὺς μόχθους ἐν τῇ μακρὰν Ἀνατολῇ; Ἀλλὰ πόσοι τοιοῦτοι μόχθοι καὶ παρ' ἑαυτοῖς οἴκοι; πόσον πολλὴ ἐργασία πρόκειται πρὸς στήριξιν ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς ἁγίας πίστεως ἀνθρώπων, ἢ ὀλίγον, ἢ οὐκ ὀρθῶς νοούντων αὐτήν! Ἐμπνέεσθε ὑπὸ τοῦ ἁγίου ζήλου διακονῆσαι τούτῳ τῷ ὑψίστῳ ἀγαθῷ, ἔστε ὑπέρτεροι τῶν μικρῶν ὁρμῶν, τῶν τεινουσῶν μόνον πρὸς ἐπίτευξιν ἐξωτερικῶν τοῦ βίου μέσων! Ἐνθυμεῖσθε, ὅτι ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστι, ὅτι αὕτη οὐκ ἐν λόγοις, ἀλλ' ἐν δυνάμει, ὅτι οἱ ἄδικοι καὶ οἱ ἅρπαγες οὐ κληρονομήσουσιν αὐτήν. Ἀναπτύσσοντες ἐν ἑαυτοῖς τὴν ἠθικὴν ἰσχύν, προπαρασκευάζετε ἑαυτοὺς εἰς διακονίαν τῇ ἁγίᾳ Ἐκκλησίᾳ, ἐνθυμούμενοι, ὅτι ταῖς πατρικαῖς μερίμναις περὶ τοῦ ἀγαθοῦ τοῦ ῥωσσικοῦ λαοῦ τοῦ ἀλήστου Τσάρου - Εἰρηνοποιοῦ, καὶ τοῦ νῦν βασιλεύοντος ἀγαπητοῦ Αὐθέντου ἡμῶν ὁ κλῆρος μᾶλλον, ἢ πρίν, κέκληται εἰς τὸ ἔργον τοῦ διδασκάλου, ὅτι αὐτὸς διὰ τῆς Ἐκκλησιαστικῆς Σχολῆς ἔτυχε τοῦ δυνατοῦ μᾶλλον, ἢ πρίν, ἐκχέειν εἰς τὰ πλήθη τοῦ λαοῦ τὰς καθαρὰς ἀκτῖνας τοῦ χριστιανικοῦ φωτισμοῦ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀφιερώσατε δὴ ἑαυτούς, προσφιλεῖς νεανίαι, τῇ ὑψηλῇ διακονίᾳ τῆς ἁγίας Ἐκκλησίας! Ἡ ἀγάπη πρὸς τὴν Ἐκκλησίαν, πρὸς τὸν Τσάρον καὶ πρὸς τὴν πατρίδα ἔστω κρεῖσσον κτῆμα ὑμῶν, καὶ οἱ μόχθοι ὑμῶν πρὸς κοινὴν ὠφέλειαν στεφθήτωσαν τῇ ἐφετῇ ἐπιτυχίᾳ. (См. Прибавл. къ Церк. Вѣдом. за 1898 г. № 18—19. Стран. 687—689).

# XX.

## ΛΟΓΟΣ

### ἐπὶ τῇ ἐπισκέψει τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Λιθουανίας πρὸς τοὺς ἐν αὐτῷ διδασκομένους τὴν 26 Μαΐου 1898 ἔτους.

Ἐπανερχόμενος ἐκ τῆς Ῥωσσικῆς πέραν τοῦ π. Βοὺγ χώρας εἰς Πετρούπολιν, βούλομαι ἀνακοινῶσαι ὑμῖν εἰδήσεις τινας περὶ τῆς ἐκπαιδευτικῆς δράσεως τῆς ἐν Δαισνιάνῃ μονῆς τῶν γυναικῶν καὶ περὶ τούτου, πῶς ἡ μονὴ ἑώρταζε τὴν ἡμέραν τῆς ἁγίας Πεντηκοστῆς. Πολλοῖς ἐξ ὑμῶν, εἰκότως, γνωστόν, ὅτι αὕτη ἡ μονὴ κεῖται πλησίον τῆς πόλεως Μπαίλης τοῦ κυβερνείου τῆς Σαιδλέτσκης. Οὐ πρὸ πολλοῦ ὑφίσταται καὶ ἐν βραχεῖ χρόνῳ πολλὰ ὠφέλησε τοὺς ἐπιτοπίους Ῥώσσους κατοίκους, ἐν οἷς πολλοὶ ἰσχυρογνωμονοῦντες, τ. ἔ. πρώην Οὐνιᾶται, μὴ φοιτῶντες εἰς τὰς Ἐκκλησίας. Παρὰ τῇ μονῇ ἵδρυται διδασκαλικὴ σχολὴ τῶν θηλέων, παρασκευάζουσα τὰς διδασκάλους τῶν σχολῶν τῶν Ἐκκλησιαστικῶν ἐνοριῶν. Ὑπὲρ τὰ 80 ὀρφανά, ἄνευ διακρίσεως τῆς ὁμολογίας πίστεως, περιθάλπονται ἐν τῷ ἀσύλῳ τῆς μονῆς, καὶ ἐν τῷ θεραπευτηρίῳ παρέχεται ἰατρικὴ βοήθεια ἑκατοντάσι προσώπων δωρεάν. Δύο βέρστια μακρὰν τῆς μονῆς ἐν τῷ χωρίῳ Μπουρζηλόβκα ἐπὶ τοῦ γηπέδου, τοῦ ἄρτι κτηθέντος ὑπὸ τῆς μονῆς, ἱδρύθη σχολὴ ἀρρένων ἐκ δύο τάξεων. Παρ' αὐτῇ εἰσιν ἐργαστήρια τορνευτικῆς, χαλκευτικῆς, λεπτουργικῆς καὶ βιβλιοῤῥαφικῆς. Σὺν ταῖς τέχναις ὁμοῦ γίνεται ἡ διδασκαλία καὶ τῆς γεωργίας. Πᾶσαι αὗται αἱ ἀσχολίαι ἐπάγονται πληθὺν μαθητῶν εἰς τὴν Σχολήν. Τὸ παιδαγωγικὸν μέρος ἐν ταύταις ταῖς Σχολαῖς τεταγμένον ἐστὶ λίαν ἐμφρόνως. Τὰ παιδία οὐκ ἀποσπῶνται ἀπὸ τῶν συνθηκῶν τοῦ ἀγροτικοῦ βίου. Ἡ ὄψις αὐτῶν ὑγιής, ἀκμαία, εὔθυμος· ἐνδεδυμένα καθαρῶς, λιτῶς, ἡ ἐνδυμασία ἐῤῥαμμένη ἐξ ὕλης, ὑφασμένης ἐν τῷ ἀσύλῳ τῆς μονῆς. Ἐν ὥρᾳ θέρους τὰ παιδία εἰσὶν ἀνυπόδητα. Ἡ τροφὴ λιτὴ καὶ θρεπτική. Οἱ εὖ παρεσκευασμένοι διδάσκαλοι καὶ αἱ ἀδελφαὶ τῆς μονῆς μετ' ἀγάπης ἀφιέρωσαν ἑαυτοὺς ταύταις ταῖς Σχολαῖς. Οὐκ εὐχερὲς τῇ μονῇ, τῇ μὴ ἐχούσῃ ὡρισμένας προσόδους, συντηρεῖν περὶ τὰ διακόσια παιδία.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ὁπόσον δὲ αὕτη ἡ μονὴ ἐκπληροῖ τὴν ἐπιούσιον ἀνάγκην τῶν κατοίκων δῆλον ἐκ τούτου, ὅτι ἡ ἡγουμένη Αἰκατερίνα περιῆλθεν εἰς ἀνάγκην ἱδρῦσαι δύο τμήματα μονῆς—Τεολὶν καὶ Βήρωβ μετὰ Σχολῶν καὶ θεραπευτηρίων. Τὸ ἡσυχαστήριον Βήρωβ, ἐπὶ τῆς ὄχθης τοῦ ποταμοῦ Βούγ, διατιθὲν εὐτελεστάτους πόρους, ἐξένισε περὶ τοὺς 135 ἀοίκους ὀρφανοὺς καὶ διδάσκει αὐτοὺς ὑπὸ τὴν χειραγωγίαν τῆς προϊσταμένης τοῦ ἡσυχαστηρίου, τῆς μοναχῆς Ἄννης, ἐν τῇ ἄριστα τεταγμένῃ Σχολῇ τῆς Ἐκκλησιαστικῆς ἐνορίας. Ἡ μονὴ τῆς Δαισνιάνης παρέδωκε τῷ ἡσυχαστηρίῳ Βήρωβ ἀδελφάς τινας μετὰ παιδείας διδασκαλείου καὶ γυμνασίου, καὶ αὗται αἱ αὐταπαρνησάμεναι ἀσκήτριαι ἵδρυσαν, τρία βέρστια μακρὰν τοῦ Βήρωβ, ἐν τῷ χωρίῳ Μολόζιεβ, Ἐκκλησιαστικὴν Σχολήν. Πρὸ δέκα ἡμερῶν κεραυνὸς ἐν διαφόροις τόποις κατέκαυσε τοῦτο τὸ χωρίον. Εἰς τὸν ἦχον τοῦ θορύβου τῶν κωδώνων τοῦ Βήρωβ ἔσπευσαν αἱ μοναχαὶ καὶ τὰ πρεσβύτερα παιδία, ἵνα σώσωσι τὴν πάτριον Σχολήν. Ἔπεμψαν καὶ τὸν μόνον ἐν τῇ μονῇ πυροσβεστικὸν σίφωνα. Τὰ παιδία ἐκόμιζον ὕδωρ ἐκ τοῦ π. Βούγ, περιέβρεχον τὴν προσφιλῆ Σχολήν, περιήλειφον τὰ τείχη αὐτῆς ὑγρῷ πηλῷ καὶ προὐφύλαττον ἀπὸ τοῦ πυρός. Τὸ χωρίον ἅπαν σχεδὸν κατεκάη,—καὶ ἐν τῇ Σχολῇ καὶ ἐν τῇ μονῇ εὗρον ἄσυλον οἶκοί τινες ἰσχυρογνωμονοῦντες. Ἰδοὺ οἷα ἡ μονὴ τῆς Δαισνιάνης καὶ αἱ παραφυάδες αὐτῆς!

Ἡ εὐλαβὴς τέλεσις τῆς λειτουργίας, ἡ ἁρμονικὴ ψαλμῳδία τοῦ χοροῦ τῆς μονῆς, ὁ αὐστηρὸς ἀσκητικὸς βίος τῶν ἀδελφῶν, τῶν ὅλως ἑαυτὰς ἀφιερωσασῶν τῇ διακονίᾳ τῷ πλησίον, φυσικῶς ἐπάγονται εἰς τὴν μονὴν τῆς Δαισνιάνης καθ' ἕκαστον ἔτος ἀεὶ πλείονα ἀριθμὸν προσκυνητῶν. Καὶ ἐν ὅλῃ τῇ ἐνδείᾳ τῶν πόρων ἡ μονὴ ᾠκοδόμησεν αὐτοῖς ξενῶνα καί τινας μεγάλους ἐστεγασμένους τόπους. Μέγας γίνεται ὁ ἀριθμὸς τῶν μεταλαμβανόντων, καὶ συνωθοῦνται ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ τῆς μονῆς. Πρὸς εὐκόλυνσιν, ἵνα μεταλάβωσι χιλιάδες τινες τὰς ἡμέρας τῶν μεγάλων ἑορτῶν, ἡ μήτηρ ἡγουμένη ἔκτισε λίαν ἰδιόρρυθμον ναόν. Ἐν ὕψει δύο σαζενίων (=6 πήχεων) ἐστὶν ἐκτισμένον τὸ ἅγιον βῆμα, ἔχον πλάτος μὲν 13 πήχεων, μῆκος δὲ 9, περιεζωσμένον ἐκ τριῶν μερῶν διὰ περιδρόμου. Τὰ τείχη αὐτοῦ ἐσκεπασμένα συνεχῶς παραθύροις. Ἐν τούτῳ τῷ περιδρόμῳ ἵστανται οἱ χοροί. Ἅπαν δὲ τὸ οἰκοδόμημα ἐστεμμένον ὑπὸ ὡραίου βυζαντινοῦ θόλου. Ἀπέναντι τῆς ὡραίας πύλης ἐν τῷ περιδρόμῳ ἐστὶν ἐκτισμένη πλατεῖα πύλη, εἰς ἣν ἄγουσι τρεῖς κλίμακες: μία—μεσαία, πλατεῖα, καὶ δύο—στεναί, παράπλευροι. Ἐν τῇ πρὸ τῆς Ἐκκλησίας πλατείᾳ ἐλευθέρως δύνανται ἵστασθαι περὶ τὰς τέσσαρας χιλιάδας ἀνθρώπων, καὶ τὴν 23 Μαΐου, τὴν ἡμέραν τοῦ ἐγκαινισμοῦ τῆς Ἐκκλησίας, ἐν τῷ μέσῳ τῆς πλατείας παρεσκευάσθη τόπος πρὸς ἔνδυσιν τοῦ ἀρχιερέως. Πᾶσα ἡ πλατεῖα μετετράπη εἰς ναόν, ἔχοντα θόλον τὸν οὐρανόν, καὶ τείχη τὰ αἰώνια δένδρα, τὰ τὴν πλατεῖαν περιβάλλοντα. Μετὰ τὴν λειτουργίαν ὑπὲρ τὰς δύο χιλιάδας ἀνθρώπων ἐν ἁρμονικῇ τάξει ἠδυνήθησαν μεταλαβεῖν τῶν ἁγίων μυστηρίων. Ὁ πανιερώτατος Τύχων, ἐπίσκοπος Δουμπλίνου, καὶ εἷς ἐκ τῶν ἱερέων

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξῆλθον ἐκ τῆς ὡραίας πύλης, καὶ διὰ τῶν παραπλεύρων κλιμάκων ἄνευ συνωθήσεως προσῆλθον οἱ προσκυνηταὶ πρὸς μετάληψιν τῶν μυστηρίων τοῦ Κυρίου, καὶ μετὰ τὴν μετάληψιν κατήρχοντο διὰ τῆς μεσαίας κλίμακος κάτω, ὅπου ἐδίδοτο αὐτοῖς προσφορὰ καὶ ζέον πρὸς πόσιν. Λίαν συγκινητικὸς ἦν ὁ λόγος τοῦ ἐπισκόπου Τόχωνος· ἀπήγγειλεν αὐτὸν, ἱστάμενος ἄνω τῆς κλίμακος, ἐν ταῖς θύραις τοῦ θαυμασίου τούτου οἰκοδομήματος. Ὄχλος λαοῦ πολλῶν χιλιάδων προσεῖχε τῷ κηρύγματι αὐτοῦ, καὶ ἡ φωνὴ αὐτοῦ ἠχητικῶς διεδίδοτο ἐπὶ τοῦ ὄχλου τούτου. Πρὸς ἄμυναν τῶν προσευχομένων ἀπὸ τοῦ καύσωνος καὶ τῆς βροχῆς, ἡ μήτηρ ἡγουμένη προτίθεται κατασκευᾶσαι σκέπην ἐξ ὀθόνης. Ἡ Ἐκκλησία αὕτη, ἡ ἔχουσα κρύπτην ἐν τῷ κάτω ὀρόφῳ ἤρεσε τῷ κλήρῳ τε καὶ τῷ λαῷ. Ἡ ψαλμῳδία ἀντηχεῖ ὀξύτατα ἐκ τοῦ ἀνοικτοῦ περιδρόμου, καὶ ὁ διάκονος, ὁ ἱστάμενος ἐπὶ τοῦ ἄμβωνος ἐν ταῖς θύραις, πᾶσιν ὁρατὸς καὶ ἀκουστός.

Τὴν ἑορτὴν τῆς ἁγίας Τριάδος συνήχθη αὐτὸ τὸ ἔτος πλέον τῶν δέκα χιλιάδων προσκυνητῶν. Τὴν 23 Μαΐου, 4 ὥραν τῆς ἡμέρας, ἐξῆλθεν ἐκ τῆς μονῆς, ἠχούντων τῶν κωδώνων, ἡ πομπὴ εἰς προϋπάντησιν τῆς μετὰ τοῦ σταυροῦ λιτανείας ἐκ τῆς ἐκ δύο τάξεων Σχολῆς τῆς Ἐκκλησιαστικῆς ἐνορίας τῆς Γιάμπλοτσίνης. Οἱ μαθηταὶ τῆς Σχολῆς ταύτης μετὰ τοῦ σταυροῦ καί τῶν εἰκόνων ἐπορεύθησαν σὺν τῷ ἱερεῖ, τῷ ἱερομονάχῳ καὶ τῷ διδασκάλῳ τῆς Σχολῆς 60 βέρστια. Εἰσερχόμενος εἰς τὰ χωρία, ὁ ἱερεὺς ἐνεδύετο ἐπιτραχήλιον, ἐλάμβανεν ἀνὰ χεῖρας τὸν σταυρὸν, κα τὰ παιδία ἐπορεύοντο ἀντηχοῦντα τὸν ἀέρα μεγαλοφώνῳ ψαλμῳδίᾳ. Ὅτε ἐφάνησαν οἱ προσκυνηταὶ ἐκ τοῦ ἄκρου τοῦ δάσους, ἐν ἑνὸς βερστίου ἀποστάσει ἀπὸ τῆς μονῆς προϋπήντησαν αὐτοὺς οἱ μαθηταὶ τῆς ἐν Μπουρζηλόβσκῃ μοναστηριακῆς Σχολῆς, πάντες ἐν ἐρυθροῖς, βυσσίνοις χιτῶσιν. Αἱ σημαῖαι τῆς μονῆς κατὰ τὸ ἐγχώριον ἔθος ἐκλίθησαν πρὸ τοῦ σταυροῦ εἰς σημεῖον ἀσπασμοῦ, οἱ ἱερεῖς ἀντήλλασον τὸν ἀδελφικὸν ἀσπασμὸν, οἱ δύο χοροὶ συνηνώθησαν εἰς ἕνα ἰσχυρὸν χορὸν, καὶ ἅπαν τὸ πλῆθος τοῦ λαοῦ, εὐλαβῶς διατεθειμένον, ἡσύχως διηυθύνθη εἰς τὴν μονήν. Ἡ μία μετὰ τὴν ἄλλην ἤρχοντο εἰς αὐτὴν αἱ μετὰ τοῦ σταυροῦ λιτανεῖαι, καὶ περὶ τὴν ἀρχὴν τῆς Ὁλονυκτίας ἡ μεγάλη θύρα τῆς μονῆς ἦν κεκαλυμμένη ὑπὸ πυκνοῦ πλήθους λαοῦ. Κατὰ τὴν ἀκολουθίαν ὁ μεγαλοπρεπὴς ναὸς ἀντηχεῖτο ὑπὸ θαυμασίας ψαλμῳδίας τοῦ τῆς μονῆς χοροῦ. Ὁ λαὸς ἐπλήρου τὸν ναὸν, ἵστατο ἐν ταῖς θύραις καὶ κύκλῳ τοῦ ναοῦ. Ἐν τῷ μέσῳ τῆς ἀκολουθίας αὐτὸς ἀπροσδοκήτως ἐθορηβήθη. Εἰς τὸν ναὸν, ἀπροσδοκήτως πολλοῖς, ἐκόμισαν μέγαν κώδωνα, βάρους 225 πουδίων, κεχυμένον ἐν Μόσχᾳ ἐν τῷ ἐργοστασίῳ τοῦ Φινλιάνδσκη ἐκ χαλκοῦ πυροβόλου, δωρηθέντος τῇ μονῇ. Ἡ συμμετρία καὶ ἡ καλλονὴ τῆς ἐπεξεργασίας αὐτοῦ ἐξέπληξαν τοὺς προσκυνητὰς, ὧν οἱ πλείους τὸ πρῶτον ἐθεώρουν τοιοῦτον μέγαν καὶ ὡραῖον κώδωνα. Οἱ ἐλάσσους κώδωνες ἐκομίσθησαν τὴν παραμονήν. Βραδέως ἔληξε ἡ ἀκολουθία τῆς μονῆς, ἡσυχία ἀποκατέστη ἐν τῷ ναῷ, καὶ ἡ ψαλμῳδίαν ἤρξατο ὄπισθεν τῶν τειχῶν αὐτοῦ. Κατὰ ταύτην τὴν θερμὴν τοῦ ἔαρος

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νύκτα λαμπρῶς ἡ σελήνη ἐφώτιζε τοὺς εὐλαβῶς διατεθειμένους προσκυνητάς, καὶ ὅλην τὴν νύκτα μέχρι τῆς αὐγῆς, αὐτοί, διῃρημένοι εἰς δεκάδας χορῶν, ἀσιγήτως καὶ οὐ σπανίως ἀμέμπτως καλῶς ἐδόξαζον τὴν Ζωαρχικὴν Τριάδα. Ὁ ἀὴρ τῆς νυκτὸς διαρκῶς ἀντηχεῖτο τῇ συγκινητικῇ ψαλμῳδίᾳ: «Ἅγιος, ἅγιος, ἅγιος Κύριος ὁ Θεός, ἅγιος, ἅγιος, ἅγιος Χριστὸς ὁ Θεός, ἅγιος, ἅγιος, ἅγιος Κύριος, Πνεῦμα ἅγιον Σαβαώθ». Τοῦτο τὸ ἰσχυρόν: «Ἅγιος, ἅγιος, ἅγιος» διεδίδοτο ἐν τῇ ἡσυχίᾳ τῆς νυκτὸς τῷ πανηγυρικῷ ὕμνῳ ἑκατοντάδων χριστιανῶν, δοξολογούντων τὸν ἕνα ἐν Τριάδι Θεόν. Ἅμα ὡς ἐν ἑνὶ τόπῳ αὕτη ἡ ψαλμῳδία ἔπαυεν, ἐν ἄλλῳ τόπῳ διεδίδοτο ἡ θαυμασία ᾠδὴ τῷ Παρακλήτῳ τοῦ κόσμου: «φύλαττε τὴν πίστιν ἡμῶν, Πνεῦμα ἅγιον, τῇ χαρᾷ ἐνοίκισον τὰς καρδίας τῶν πιστῶν, μὴ χώρισον ἡμᾶς, ἀλλ' ἕνωσον». Τῇ θαυμαστῇ ἁρμονίᾳ ἤχει αὕτη ἡ πρὸς τὸ Πανάγιον Πνεῦμα εὐχὴ ὑπὲρ τούτου, ὅπως οἱ πιστοὶ ὦσι συνηνωμένοι τῇ Χριστιανικῇ ἀγάπῃ καὶ οὐ κεχωρισμένοι. Καὶ ἡ σελήνη ἐγγὺς ἦν τῇ δύσει, καὶ ἡ αὐγὴ ἤρχετο ἀνατέλλουσα, ὁ δὲ λαὸς ἀεὶ ἔψαλλε. Περὶ τὴν ἀνατολὴν τοῦ ἡλίου ἡ ψαλμῳδία ἐνισχύετο. Τὴν 7 ὥραν προσήρχετο εἰς τὴν μονὴν ἡ μετὰ τοῦ σταυροῦ λιτανεία ἐκ Πολοσὸκ, χωρίου τοῦ κυβερνείου τῆς Σαιδλέτσκης. Ἡ Ἐκκλησιαστικὴ Σχολὴ προηγεῖτο τῆς πορείας· ἠχητικῶς διεδίδοτο ἡ πανηγυρικὴ ψαλμῳδία τοῦ ἐμπείρου χοροῦ τῆς Σχολῆς: «Ἅγιος, ἅγιος, ἅγιος»· ἡ Σχολὴ μεγαλοφώνως ἔψαλλε, καὶ ὀξέως συνέψαλλεν αὐτῇ ὁ λαός. Διὰ παντὸς αὕτη ἡ θαυμασία νὺξ ἔσται ἐν τῇ μνήμῃ πάντων τῶν εὑρεθέντων ἐν τῇ μονῇ: ἡ ζῶσα, ἡ καθαρὰ πίστις τοῦ λαοῦ ἐνταῦθα δυνατῶς ῥύδην ἀνέβλυζε. Δι' ὅλης τῆς νυκτὸς πολλοὶ προσηύχοντο καὶ ἔψαλλον, οὐδὲν παρεβίαζε τὴν ὑψηλὴν προσευχτικὴν διάθεσιν τοῦ ἐκ πολλῶν χιλιάδων λαοῦ. Οὐκ ἠκούοντο ἀργαὶ διαλέξεις, οὐδεὶς ἐκάπνιζε, περὶ ρακῆς οὐδὲ μνεία ἦν. Χιλιάδες ἀνθρώπων ἡτοιμάζοντο εἰς τὴν τράπεζαν τοῦ Κυρίου.

Ἰδού, προσφιλεῖς νεανίαι, πῶς ἑώρταζεν ἡ μονὴ τῆς Δαισνιάνης τὴν ἡμέραν τῆς Πεντηκοστῆς. Ἐὰν τοῖς εἰρημένοις προσθῶ, ὅτι μέγα μέρος τῶν προσκυνητῶν ἀφίκετο ἐκ τοῦ κυβερνείου Γρόδνου ἐκ τῆς ἐπαρχίας ὑμῶν, τότε γνώσεσθε, ὅτι πολλοῖς ἐξ ὑμῶν πεσεῖται εὐτυχὴς κλῆρος εἶναι ἐν στεναῖς σχέσεσι μετ' ἐκείνου τοῦ προσευχτικῶς διατεθειμένου καὶ τόσον ἱκανοῦ ψάλλειν λαοῦ. Ἡδὺ καὶ ἐλαφρὸν τῷ ἱερεῖ, ὅτε οἱ πάροικοι αὐτοῦ κέκτηνται τοιαῦτα καλὰ προσόντα, καὶ τοῦτο μέλλει ἐνθαῤῥύνειν ὑμᾶς εἰς ἰδίους μόχθους πρὸς ὄφελος τούτου τοῦ λαοῦ. Σπουδάζετε ἐμπνευσθῆναι τῇ ἀγάπῃ πρὸς τὴν ἀναμένουσαν ὑμᾶς ὑψηλὴν διακονίαν, ἀνατρέφετε ἐν ἑαυτοῖς τὴν τάσιν ἀφιερῶσαι πάσας ὑμῶν τὰς δυνάμεις τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ καὶ τοῖς ἐλαχίστοις ἀδελφοῖς. Πειρᾶσθε ὑψωθῆναι ὑπεράνω τῆς στάθμης τῶν λεπτῶν βιωτικῶν συμφερόντων, τείνετε εἰς τὸ ὕψιστον ἀγαθόν, μὴ ἐπιδιώκετε ἐπικερδεῖς ὑπηρεσίας, ἀλλ' ἀφιερώσατε ἑαυτοὺς ὁλοτελῶς τῇ διακονίᾳ τῇ ἁγίᾳ Ἐκκλησίᾳ ἀγαπᾶτε αὐτὴν παντὶ σθένει τῆς ὑπάρξεως ὑμῶν. Ἀγαπᾶτε τὸν λαόν, σπουδάζετε τῇ ὁδῷ δικαίου βίου, καλῆς διδασκαλίας καὶ διὰ τῆς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Σχολῆς ἐξευγενῖσαι καὶ ἠθικῶς ἀνυψῶσαι αὐτὸν, στηρίζοντες ἐν αὐτῷ τὰς καλὰς ἕξεις, ἀεὶ ἐκριζοῦντες τὴν δεισιδαιμονίαν, τὰς κακὰς ἕξεις καὶ τὴν μέθην, καὶ ἐπιῤῥωννύντες ἐν αὐτῷ τὴν ῥωσσικὴν ἐθνικὴν συνείδησιν, τὴν ἀφοσίωσιν τῷ Βασιλεῖ (Τσάρῳ) καὶ τὴν ἀγάπην πρὸς τὴν ἁγίαν Ἐκκλησίαν. (См. Прибавл. къ Церков. Вѣдом. за 1898 г. № 23. Стран. 846—849).

# XXI.

## ΛΟΓΟΣ

### ἐν τῷ Ἐκκλησιαστικῷ Σεμιναρίῳ Λιθουανίας τὴν 18 Σεπτεμβρίου 1897 ἔτους.

Καλὸν βιβλίον, ἐπιγραφόμενον: «Ἡ Δυτικὴ Ῥωσσία ἐν τῷ ἀγῶνι ὑπὲρ πίστεως καὶ ἐθνικότητος», τοῦ καθηγητοῦ Μαλησσέβσκη, παρέδωκα τῇ βιβλιοθήκῃ ὑμῶν. Ἀναγινώσκετε τὸ βιβλίον τοῦτο, καὶ, μανθάνοντες τὴν ἱστορίαν τοῦ πάλαι ἀγῶνος τῆς πολυπαθοῦς ῥωσσικῆς χώρας, στερεοῦσθε ἐν τῇ ἀγάπῃ πρὸς τὴν ἁγίαν πίστιν καὶ τὴν φίλην πατρίδα. Τὸ βιβλίον τοῦτο συνέγραψεν ὁ ἀρτίως τελευτήσας καθηγητὴς Ἰωάννης Ἰγνάτιεβιτς Μαλησσέβσκης. Γεννηθεὶς ἐν τῇ ἐπαρχίᾳ Μήνσκ, ἵδρις τῆς Ἐκκλησιαστικῆς ἱστορίας, ἅπασαν αὐτοῦ τὴν ζωὴν ὅλως ἀφιέρωσε τῇ διακονίᾳ τῇ ἐπιστήμῃ, καὶ ἦν εἷς τῶν εὐφυεστάτων καθηγητῶν τῆς Ἐκκλησιαστικῆς Ἀκαδημίας τοῦ Κιέβου. Κεκτημένος σπανίαν πολυμάθειαν, αὐτὸς συνέλεγε πολύτιμον καὶ ὀλίγον ἐξηρευνημένην ὕλην, καθυπέβαλλεν αὐτὴν αὐστηρᾷ ἐπιστημονικῇ κριτικῇ, ἀεὶ ἀπηλλαγμένῃ μονομερῶν θεωριῶν. Αἱ ἐπιστημονικαὶ αὐτοῦ ἐργασίαι ἐνεπνέοντο ὑπὸ τῆς ἀγάπης πρὸς τὴν Ἐκκλησίαν. Αὐτὸς εἰλικρινῶς ἦν ἀφωσιωμένος αὐτῇ· τὴν ἱστορίαν αὐτῆς ἐξετίθει μετ' ἀμιμήτου συνέσεως. Κεκτημένος ὑψηλὸν κῦρος ἐν τῷ ἐπιστημονικῷ κόσμῳ, ἦν σεμνὸς καὶ ἁπλοῦς ἐν τῇ ἀναστροφῇ. Ἡ φωτεινὴ εἰκὼν τοῦ διδασκάλου, τοῦ ἀφιλοκερδῶς διακονήσαντος τῇ Ἐκκλησίᾳ καὶ τῇ ἐπιστήμῃ ἔστω ὑμῖν φίλη, ὡς παράδειγμα, ἄξιον μιμήσεως. Ὁμιλῶν περὶ τοῦ ἀειμνήστου Ἰωάννου Ἰγνάτιεβιτς Μαλησσέβσκη, οὐ δύναμαι μὴ ἀναμνησθῆναι ἀγαθῷ λόγῳ καὶ ἑτέρου ἀγωνιστοῦ ὑπὲρ τῆς πίστεως καὶ τῆς ἐθνικότητος τῆς Δυτικῆς Ῥωσσίας, οὐ δύναμαι μὴ μνησθῆναι τοῦ καθηγητοῦ τῆς Ἐκκλησιαστικῆς Ἀκαδημίας τῆς Πετρουπόλεως Μιχαὴλ Ὀσήποβιτς Κογιαλόβιτς, οὗ τῇ εἰκόνι οὕτως ἐν καιρῷ κεκόσμηται τὸ δωμάτιον τῶν ἐν τῇ Σχολῇ ἀσχολιῶν ὑμῶν. Ὁ ἄληστος Μιχαὴλ Ὀσήποβιτς ἠγάπα τὴν πατρῴαν χώραν παντὶ σθένει τῆς εὐαισθήτου, πραείας καρδίας αὐτοῦ. Πᾶν, τὸ κωλῦον τὴν πνευ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ματικὴν ἐπίδοσιν καὶ τὸν φωτισμὸν ταύτης τῆς χώρας ἦν αὐτῷ πηγὴ βαθείας θλίψεως καὶ λύπης. Ἡ ἐξέγερσις τῆς ῥωσσικῆς συνειδήσεως παρὰ τοῖς συγγενέσιν αὐτοῦ, τοῖς ἐπὶ πολλοὺς αἰῶνας ἀποπλανωμένοις ἐκ τῆς εὐθείας ὁδοῦ τῆς ἐθνικῆς ῥωσσικῆς ἀναπτύξεως αὐτῶν, ἦν τὸ προσφιλέστατον καὶ ἱερώτατον ὀνειροπόλημα παντὸς τοῦ βίου αὐτοῦ. Ἡ ἐκκλησία ἡ ὀρθόδοξος, ἡ φύλαξ τῆς οἰκουμενικῆς ἀληθείας, ἐκέκλητο κατὰ τὴν γνώμην αὐτοῦ, ἀναγεννῆσαι τὰς πνευματικὰς δυνάμεις τοῦ λευκορώσσου καὶ σῶσαι αὐτὸν ἐκ τῆς στερήσεως τῆς προσωπικότητος ἐν τοῖς θολεροῖς κύμασι τοῦ κατ' αὐτοῦ ἐξεγειρομένου Πολωνισμοῦ. Κύριοι, μνημονεύετε τῶν ἡγουμένων ὑμῶν. Μιμεῖσθε τὴν πίστιν αὐτῶν, διδάσκεσθε παρ' αὐτῶν ἀγαπᾶν τὴν Ἐκκλησίαν καὶ τὴν πατρίδα ὑπὲρ τὰ ἴδια εὐτελῆ συμφέροντα. Ὑμεῖς καλεῖσθε εἰς ὑψηλὴν διακονίαν τῶν ποιμένων τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. Διὰ τὴν ἐπιτυχῆ πορείαν τοῦ ἱεροῦ ὑπουργήματος ἀνάγκη ὑμῖν συλλέγειν ἐνταῦθα θησαυροὺς γνώσεως καὶ ἀνατρέφειν ἑαυτοὺς ἐν μονίμῳ ἑτοιμότητι μετ' αὐταπαρνήσεως πάσας ὑμῶν τὰς δυνάμεις ἀφιεροῦν τῷ Κυρίῳ καὶ τῇ Ἐκκλησίᾳ Αὐτοῦ. Ὅπως χειραγωγῇ τις τοὺς ἄλλους εἰς τὴν πρὸς σωτηρίαν ἄγουσαν ὁδόν, ἀνάγκη αὐτῷ ἵστασθαι ἐν δέοντι ἠθικῷ ὕψει· ἀλλὰ τὸ ὑψωθῆναι εἰς ἐκεῖνο τὸ ὕψος οὐ ῥάδιον. Συνεχῶς καὶ ἐπὶ μακρὸν δεῖ ἀνατρέφειν ἑαυτοὺς ἐν τῇ καθαρᾷ ἀτμοσφαίρᾳ τῆς αὐστηρᾶς ἐγκρατείας. Πιστεύσατε, Κύριοι, ὅτι ἡ ἐσωτερικὴ πειθαρχία, ἡ συνετῶς κρατοῦσα τῶν ὁρμῶν τῶν παθῶν καὶ τῶν τυχαίων ἐπιθυμιῶν, ἐστὶν ὑγιής, σωτήριος δύναμις, ἄγουσα τοὺς ἀνθρώπους εἰς τὴν τελειότητα. Διὰ τὴν ἀνάπτυξιν τῶν ψυχικῶν δυνάμεων τοῦ ἀνθρώπου αὕτη ἡ ἀτμόσφαιρα τῆς ἠθικῆς καθαρότητος (ἐστὶν) οὕτως ἐπίσης ἀναγκαία, ὡς ὁ καθαρὸς ἀὴρ διὰ τὰ ἄνθη. Ἰδοὺ καὶ ἐν τούτῳ τῷ δωματίῳ ταῦτα τὰ φυτὰ οὐκ ἂν περιεβλήθησαν χυμώδεσι φύλλοις, εἰ ἐνταῦθα ἡ ἀτμόσφαιρα ἦν οὐ καθαρὰ καὶ μεμολυσμένη. Μάθετε ὑποτάσσειν τὴν θέλησιν ταῖς ἀπαιτήσεσι τοῦ καθήκοντος, σπουδάζετε ἐνισχυθῆναι ἐν τῇ ἕξει εἰς τὴν προσευχήν. Μέμνησθε, ὅτι μετὰ προόδου ἐν τῷ βιωτικῷ σταδίῳ δύνανται ἐργάζεσθαι μόνον ἄνθρωποι σταθεροῦ χαρακτῆρος, ἄνθρωποι ἐμμόνως καὶ ἀπαρεγκλίτως τείνοντες πρὸς ἐπίτευξιν τοῦ διαγεγραμμένου ὑπ' αὐτῶν σκοποῦ. Κεκτημένοι πολυειδεῖς γνώσεις ἐν τοῖς τῶν διδασκομένων ὑμῖν ἐπιστημῶν, στεῤῥοὶ ἐν τῇ πίστει, εἰλικρινῶς ἀγαπῶντες τὴν ἁγίαν Ἐκκλησίαν, ὁλοψύχως παραδεδομένοι τῷ Τσάρῳ, προσκομίσετε τῇ πατρῴᾳ χώρᾳ μέγα ὄφελος, εἰ μετὰ τὴν ἀποφοίτησιν ἐκ τοῦ Σεμιναρίου εὐλαβῶς δέξεσθε ἱερὸν βαθμόν. Ἐμφορεῖσθε τῶν παραδειγμάτων τῶν ὁμολογητῶν τῆς πίστεως, εἰσακούετε τῶν περὶ πίστεως ἐννοιῶν τοῦ ἁπλοῦ λαοῦ, χειραγωγεῖτε τὰς ἰδέας αὐτοῦ, τρέφετε αὐτὸν τῇ καθαρᾷ διδασκαλίᾳ, ἔστε ἐγγὺς αὐτῷ: αὐτὸς ἄξιός ἐστιν ἰδίας ἀγάπης καὶ φροντίδος. Ἀνάγκη χαίρειν, πόσον ἰσχυρὰ παρ' αὐτῷ ἡ πίστις, καὶ ἐπὶ πόσον αὐτὸς παραδεδομένος ἐστὶ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ. Ἔτι ἐμοὶ αὐτῷ κατ' αὐτὰς συνέβη συγκινεῖσθαι ἐπὶ τῷ ὕψει (ἄρσει) τοῦ θρησκευτικοῦ αἰσθήματος τῶν εἰς τὴν μονὴν τῆς Λαισνιάνης ἐκ Γρόδνου προσκυνητῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Μετὰ ἁρμονικῆς ὑμνῳδίας τῶν ἱερῶν ὕμνων αὐτοὶ ἐπορεύοντο εἰς προσκύνησιν, καὶ ἐκεῖ ἐν νηστείᾳ καὶ προσευχῇ ἡτοιμάζοντο μεταλαβεῖν τῶν ἁγίων τοῦ Χριστοῦ μυστηρίων. Ἡ μετὰ τοιούτων καλῶν Χριστιανῶν κοινωνία ἔσται πολλοῖς ἐξ ὑμῶν πηγὴ ὑψηλῆς πνευματικῆς χαρᾶς.

Στερεοῦσθε ἐν τῇ προθέσει τοῦ ἀφιερῶσαι τὰς δυνάμεις τῇ διακονίᾳ τῇ ἁγίᾳ Ἐκκλησίᾳ, καὶ ὁ Κύριος βοηθήσει ὑμῖν ἐν τοῖς μόχθοις ὑμῶν. Τὸ δὲ Ἐκκλησιαστικὸν Σεμινάριον τῆς Λιθουανίας εἰς τὸ λοιπὸν, ὡς καὶ μέχρι τοῦδε, μέλλει προπαρασκευάζειν εἰς διακονίαν ἐν ἱερῷ βαθμῷ ποιμένας, ἀφωσιωμένους τῇ κλήσει αὐτῶν, εἰλικρινεῖς ἐν τῷ κηρύγματι τοῦ θείου λόγου, καὶ ἀνατρέφοντας τὰ τέκνα τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας ἐν τῷ φόβῳ τοῦ Θεοῦ, ἐν τῇ ἀγάπῃ πρὸς τὸν Τσάρον καὶ τὴν πατρίδα. (См. Оттискъ изъ «Литовскихъ Епархіальныхъ Вѣдомостей». Вильна. 1897. Стран. 3—5).

# XXII.

## ΛΟΓΟΣ

### ἐν τῇ ἐνάρξει τῆς ἐν Πετρουπόλει σειρᾶς παιδαγωγικῶν μαθημάτων διὰ τοὺς καὶ τὰς διδασκάλους τῶν Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν, τὴν 25 Ἰουνίου 1898 ἔτους.

Προσαγορεύω ὑμᾶς, σεβαστοὶ καὶ σεβασταὶ διδάσκαλοι τῶν ἐκ δύο ἢ μιᾶς τάξεως Ἐκκλησιαστικῶν Σχολῶν, ἐπὶ τῇ ἐνάρξει τῶν παιδαγωγικῶν μαθημάτων. Οἱ φίλοι τῆς δημοτικῆς σχολῆς χαίρουσι· πολλαὶ ἑκατοντάδες διδασκόντων καὶ διδασκουσῶν συναθροίζονται ἐν πλείοσι τῶν 50 πόλεσι διὰ τὰ διδασκαλικὰ μαθήματα. Εἰς λήθην ἐκλήθη ἡ καθ' ἡμέραν κοπώδης ἐργασία κατὰ τὸν μακρὸν χειμῶνα· ἡ δίψα τῶν γνώσεων ἑλκύει εἰς τὴν σειρὰν τῶν παιδαγωγικῶν μαθημάτων τοὺς ἐργάτας τῆς δημοτικῆς σχολῆς. Πρὸς τί δὴ συνήλθετε ἐν ταύτῃ τῇ αἰθούσῃ τῶν λογοδοσιῶν; τί μέλλετε ποιεῖν ἐν τοῖς ἀκροατηρίοις, τοῖς χαριέντως παραχωρηθεῖσιν ὑμῖν ὑπὸ τῆς Ἐκκλησιαστικῆς Ἀκαδημίας καὶ τοῦ Σεμιναρίου; Συνηθροίσθητε ἐπὶ τούτῳ, ὅπως προσκτήσησθε νέας γνώσεις ἐν τοῖς τῶν ὑφ' ὑμῶν διδασκομένων, ὅπως μάθητε τὰς τετελειωμένας μεθόδους διδασκαλίας, ὅπως ἀνακαινίσητε ἑαυτοὺς ἐν ὁμιλίαις περὶ τοῦ φίλου ὑμῖν σχολικοῦ ἔργου. Ἐν τοῖς παιδαγωγικοῖς μαθήμασι ζέει ἐκείνη ἡ κοινὴ ἐργασία, ἥτις ζωοποιεῖ καὶ ἐγείρει τὰς δυνάμεις τῶν νέων, ἐρῶ μᾶλλον, ἥτις ἐνισχύει τὴν ἀγάπην πρὸς τὴν διδασκαλίαν καὶ τὴν πίστιν εἰς τὴν πρόοδον αὐτῆς. Χαλεπὸς ὁ κλῆρος τοῦ δημοτικοῦ διδασκάλου,—ὁ πενιχρὸς μισθὸς μόλις καλύπτει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰς δαπάνας κατὰ τὴν ἐκπλήρωσιν τῶν ἐπιουσίων ἀναγκῶν. Παντοῖαι στερήσεις, κακὴ κατοικία, κακὴ τροφή,—τοιαῦται σχεδὸν πανταχοῦ αἱ συνθῆκαι τῆς διδασκαλικῆς ὑπηρεσίας. Καὶ πόσαι, πρὸς τούτοις, παντοῖαι μέριμναι, συμφοραὶ καὶ δυσχέρειαι. Τοῦτον τὸν κλῆρον ὑποφέρειν, μὴ ἐμπίπτοντες εἰς τὴν ἀθυμίαν, τὴν ἐπιβλαβῆ πάντοτε διὰ τὸ ἔργον, δύνανται μόνον οἱ ἄνθρωποι, ὧν αἱ καρδίαι θερμαίνονται ὑπὸ τῆς ἀγάπης πρὸς τὴν Σχολὴν καὶ τῆς πίστεως εἰς τὴν πρόοδον τῆς φωτιστικῆς ἀποστολῆς αὐτῆς. Ἀνάγκη ὑμῖν, τοῖς καὶ ταῖς διδασκάλοις τῶν ἐκ δύο τάξεων Σχολῶν, οὐ μόνον αὐτοῖς αὐξάνειν ἐν ἑαυτοῖς ταύτην τὴν καλὴν διάθεσιν, ἀλλὰ καὶ ἀναπτύσσειν αὐτὴν ἐν τοῖς μαθηταῖς καὶ ταῖς μαθητρίαις ὑμῶν, τοῖς παρασκευαζομένοις πρὸς διδασκαλίαν ἐν ταῖς Σχολαῖς τῶν γραμμάτων. Ὁ ἀριθμὸς τούτων τῶν οὐ μεγάλων Σχολῶν καθ' ἕκαστον ἔτος ἀεὶ αὐξάνει. Περὶ τὴν 1 Ἰανουαρίου 1898 ἔτους αὐταὶ ἠριθμοῦντο 21,503. Αὗται αἱ οὐ μεγάλαι, αἱ ἐν ἀσήμοις κώμαις ἱδρυόμεναι σχολαὶ εἰσὶν ἰδίως προσφιλεῖς τῷ λαῷ· αὐταὶ τιμῶνται μικροῦ: ἀπὸ 30 μέχρις 100 ρουβλίων κατ' ἔτος· τὸ φοιτᾶν τοῖς παιδίοις εἰς αὐτὰς ἐγγύς, καὶ τοῖς χωρικοῖς κατὰ τὴν καρδίαν τοῦτο, ὅτι παρέχουσι χρήματα διὰ τὴν σχολήν, τὴν κειμένην ἐν τῇ κώμῃ αὐτῶν, καὶ οὐχὶ μακράν που. Ἡ τῶν γραμμάτων σχολὴ κατὰ τοὺς πόρους τοῦ ἡμετέρου λαοῦ, εὖ παρασκευάζει τὰ παιδία εἰς τὴν Ἐκκλησιαστικὴν σχολήν. Ἐν εὐμενέσι δὲ συνθήκαις οὐχὶ σπανίως μεταδίδωσιν αὐτοῖς γνώσεις τόσον ἐπαρκεῖς, ὥστε οἱ μαθηταὶ αὐτῆς ὑφίστανται δοκιμασίαν πρὸς μείωσιν τοῦ χρόνου τῆς στρατιωτικῆς ὑπηρεσίας ὁμοίως, ὡς οἱ μαθηταὶ τῶν σχολῶν τῶν Ἐκκλησιαστικῶν ἐνοριῶν. Διὰ περαιτέρω αὔξησιν τούτων τῶν ἁπανταχοῦ ἱδρυομένων σχολῶν ἀνάγκη ἡ προπαρασκευὴ διδασκάλων. Τὸ ζήτημα τοῦτο ἀνετέθη ταῖς ἐκ δύο τάξεων σχολαῖς. Αὗται καλοῦνται παρασκευᾶσαι τοὺς καὶ τὰς κρείσσονας μαθητὰς καὶ μαθητρίας τῶν Ἐκκλησιαστικῶν καὶ ἄλλων σχολῶν εἰς τὴν διδασκαλίαν, μὴ ἀποσπῶσαι αὐτοὺς ἀπὸ τῆς πατρίου κοινωνίας. Ὁ διδάσκαλος, ὁ λαμβάνων παρ' ἑαυτῷ οἴκοι κατὰ τὸν χειμῶνα ἀπὸ 30 μέχρι 50 ρουβλίων, κατὰ τὰς ἐννοίας τῶν χωρικῶν, ἔχει εὐπρεπὲς κέρδος. Τὸ λοιπὸν μέρος τοῦ ἔτους αὐτὸς καταγίνεται περὶ τὰ τοῦ οἴκου. Ὁ σύνδεσμος αὐτοῦ μετὰ τοῦ πατρῴου χωρίου οὐ παραβιάζεται. Παρασκευασθεὶς εἰς τὴν διδασκαλίαν ἐν ἁπλῇ ἀγροτικῇ κατασκευῇ, αὐτὸς τεχνητῶς οὐ προσελκύεται εἰς τὴν πόλιν καὶ οὐ μολύνεται ὑπὸ τῶν κακῶν ἕξεων, τῶν τόσον ῥαδίως κτωμένων ἐν τῇ μὴ ὑγιεῖ δι' ἀγωγὴν κοινωνίᾳ τῆς πόλεως. Καὶ οὕτω, τὴν γνῶσιν τῆς στοιχειώδους παιδαγωγικῆς καὶ τὴν ἀγάπην πρὸς τὴν Σχολὴν ὀφείλεττε πειρᾶσθαι, ὅπως ἐμφυτεύσητε ἐκείνοις, οὓς μέλλετε διδάσκειν· ἀλλὰ διὰ τὴν πρόοδον, ὑμεῖς αὐτοὶ ὀφείλετε κεκτῆσθαι καὶ γνώσεις καὶ συνειδητὴν πιστότητα τῇ κλήσει ἑαυτῶν. Αἱ προκείμεναι ὑμῖν ἀσχολίαι ἐν τοῖς παιδαγωγικοῖς μαθήμασι συνεργείτωσαν ὑμῖν ἐν τῇ ἐπιτεύξει τούτου τοῦ σκοποῦ. Ὑμῖν ἰδίᾳ ἀνάγκη στηριχθῆναι ἐν τῇ κατανοήσει τῆς ἀξίας τῆς Ἐκκλησιαστικῆς σχολῆς διὰ τὸν ρωσσικὸν λαόν. Τοῦτο τόσῳ μᾶλλον ἀναγκαῖον, διότι κατὰ τῆς Ἐκκλησια-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

στικῆς σχολῆς ἐκ διαφόρων μερῶν ἀβάσιμοι κατηγορίαι διαδίδονται. Ἄνθρωποι, ὀλίγον εἰδότες τὴν θρησκευτικὴν διάθεσιν τοῦ λαοῦ καὶ τὰς πνευματικὰς ἀνάγκας αὐτοῦ, ἄνθρωποι μὴ γινώσκοντες καὶ πολλάκις μὴ βουλόμενοι γνῶναι, ἐν τίσι συνθήκαις ἦν μέχρι τοῦδε, τὶ ἠδύνατο ποιῆσαι καὶ ἐποίησεν ἡ Ἐκκλησιαστικὴ Σχολή, οὐχὶ σπανίως λέγουσιν, ὅτι αὕτη ἡ σχολὴ ἁμαρτάνει τῇ μονομερείᾳ, ὅτι αὐτὴ οὐκ ἐπιθυμητή, διότι ὑπηρετεῖ τοῖς σκοποῖς τῶν κληρικῶν. Ὅσῳ καὶ ἂν ὦσι θαυμασταὶ αἱ τοιαῦται ἐνστάσεις ἡμῖν, ὅμως αὐταὶ πολλάκις ἀκούονται καὶ ἀνάγκη κρίνειν αὐτάς. Ἡ ἐπὶ μονομερείᾳ μομφὴ ἵδρυται ἐπὶ τῆς μὴ ὀρθῆς γνώσεως. Ἡ προκαταρκτικὴ σχολή, κατὰ τὴν οὐσίαν καὶ τὸν προορισμὸν αὐτῆς, ὀφείλει ἐκπρέπειν τῇ ἁπλότητι, τῇ ἀποκλειούσῃ τὴν φαντασιώδη καθολικότητα. Ἐν τῇ προκαταρκτικῇ Ἐκκλησιαστικῇ σχολῇ τὰ παιδία διδάσκονται τὸν Νόμον τοῦ Θεοῦ, προσευχάς, ἀνάγνωσιν, γραφήν, ἀρίθμησιν καὶ ἐκκλησιαστικὴν ὑμνῳδίαν. Μετὰ τῆς ῥωσσικῆς γλώσσης αὐτὰ μανθάνουσι καὶ τὴν Ἐκκλησιαστικὴν Σλαβωνικὴν γλῶσσαν, καί, μετὰ χρόνον 3—4 ἐτῶν, προσκτῶνται ἐκείνας τὰς θεμελιώδεις γνώσεις, αἵτινες ὑπάγονται εἰς τὰ τῶν προγραμμάτων, τῶν κοινῶν πάσαις ταῖς προκαταρκτικαῖς σχολαῖς. Ἐν τῇ Ἐκκλησιαστικῇ σχολῇ δίδοται πλείων πως τόπος τῇ μαθήσει τοῦ Νόμου τοῦ Θεοῦ καὶ τῆς Ἐκκλησιαστικῆς Σλαβωνικῆς γλώσσης. Τὸ μὲν πρῶτον ἀναγκαῖον καὶ χρήσιμον, διότι συντελεῖ τῇ ὑπὸ τῶν μαθητῶν κρείσσονι μαθήσει τῶν ἀληθειῶν τῆς Χριστιανικῆς πίστεως. Τὸ δὲ δεύτερον παρίσταται ὡς εὔβουλον μέσον πρὸς διευκόλυνσιν τοῖς παιδίοις τῆς μαθήσεως τῆς πατρῴας γλώσσης. Πρὸς τούτοις, ἡ γνῶσις τῆς Ἐκκλησιαστικῆς Σλαβωνικῆς ἀναγνώσεως, αἱ συχναὶ ἀσκήσεις, ἐν τῇ Ἐκκλησιαστικῇ ἀναγνώσει κατὰ τὴν ἐν τῇ Σχολῇ διαμονὴν καὶ μετὰ τὴν ἐν αὐτῇ περάτωσιν τῆς διδασκαλίας, προφυλάττουσι τοὺς μαθητὰς ἀπὸ τῆς λήθης τῶν γραμμάτων. Ἡ Ἐκκλησιαστικὴ ὑμνῳδία ὁμοίως ἐστὶν ἀντικείμενον ἰδίων φροντίδων Ἡ συμμετοχὴ τῶν παιδίων ἐν τοῖς Ἐκκλησιαστικοῖς χοροῖς συντελεῖ τῇ μαθήσει τοῦ κειμένου τῶν Ἐκκλησιαστικῶν ὑμνῳδιῶν καὶ ὠφελεῖ τὴν προσευχτικὴν διάθεσιν τῶν τε ψαλλόντων καὶ τῶν προσευχομένων. Τὸ ψάλλειν εὐχάς, ὕμνους καὶ κοσμικὰ ᾄσματα, μὴ ἀντιμαχόμενα πρὸς τοὺς παιδαγωγικοὺς σκοποὺς τῆς σχολῆς, συντελεῖ τῇ αἰσθητικῇ ἀναπτύξει τῶν παιδίων. Ἡ Ἐκκλησιαστικὴ σχολὴ ἰδίᾳ φροντίζει καὶ περὶ τῆς ἀγωγῆς τῶν παιδίων, περὶ τῆς ἐμφυτεύσεως αὐτοῖς καλῶν ἕξεων, περὶ τῆς στερεώσεως αὐτῶν ἐν τοῖς κανόσι τῆς ἀνυποκρίτου εὐσεβείας. Ἡ σχολὴ αὕτη ἔχει κλῆσιν, διδάσκουσα, ἀνατρέφειν τὰ παιδία τοῦ λαοῦ, συνειδητῶς ἀναπτύσσουσα ἐν αὐτοῖς ἀγάπην πρὸς τὴν Ἐκκλησίαν, τὸν Τσάρον καὶ τὴν πατρίδα. Ἅπαν τὸ ἔργον τῆς μορφώσεως τιθεῖσα ἐπὶ τούτων τῶν βάσεων, αὕτη ἡ σχολὴ οὐδαμῶς ἀποξενοῦται τῶν προσθέτων γνώσεων, ἀλλὰ τοὐναντίον, περὶ πλείστου ποιεῖται ταύτας; αἳ δύνανται μετὰ πραγματικῆς ὠφελείας διὰ τοὺς μαθητὰς ἀνακοινοῦσθαι αὐτοῖς. Ὑπαρχόντων πενιχρωτάτων πόρων, ἐν ταῖς Ἐκκλησιαστικαῖς σχολαῖς ἄρχεται ἡ διδασκαλία τεχνῶν καὶ ἐργοχείρων·

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μεθ' οἵας δὲ χαρᾶς φέρονται οἱ χωρικοὶ πρὸς ἵδρυσιν παρὰ ταῖς σχολαῖς λαχανειῶν, κήπων, μελισσουργείων καὶ σχολικῶν ἀγρῶν!

Καὶ οὕτως, ἡ Ἐκκλησιαστικὴ σχολή, οὖσα, πρώτιστα, προκαταρκτική. παντελῶς ἠνέῳκται διὰ περαιτέρω ἐπίδοσιν. Πρώτιστα καὶ μάλιστα αὐτὴ ἀποβλέπει πρὸς τὸν κύριον σκοπὸν αὐτῆς—δοῦναι τῷ παιδίῳ πρωταρχικὴν μόρφωσιν ἐν τῷ πνεύματι τῆς ὀρθοδόξου Ἐκκλησίας, καὶ μετὰ τοῦτο, κατὰ τοὺς πόρους καὶ τὸ δυνατόν, ἡδέως εὐρύνει τὸν κύκλον τῶν διδασκομένων ἐν αὐτῇ θεωρητικῶν καὶ πρακτικῶν γνώσεων. Τὸ διάγραμμα τῶν προγραμμάτων τῶν ἐκ δύο τάξεων σχολῶν καὶ τὰ προγράμματα τῶν ἀσχολιῶν ὑμῶν ἐν τοῖς παιδαγωγικοῖς μαθήμασίν εἰσιν ἡ κρείσσων ἀνασκευὴ τῆς ματαίας μομφῆς ἐπὶ τῇ μονομερείᾳ. Οἱ συντάκται τῶν προγραμμάτων βεβαίως ἐπειρῶντο, ὅπως ἀποφύγωσι τὴν πληθὺν τῶν ἀντικειμένων, ταύτην τὴν μάστιγα τῶν μέσων καὶ ἀνωτέρων σχολῶν ἡμῶν. Ἐν τούτοις τοῖς προγράμμασι δέδοται δέων τόπος τῇ μαθήσει τῆς ἱστορίας, τῆς γεωγραφίας καὶ τῶν κρεισσόνων προϊόντων τῆς πατρίου φιλολογίας.

Στρεφόμενος εἰς τὴν ἑτέραν μομφήν, εἰς τὸν φαντασιώδη κληρικισμὸν τῆς Ἐκκλησιαστικῆς σχολῆς, οὐ δύναμαι μὴ σημειῶσαι, ὅτι αὕτη ἡ μομφὴ ἀναπαύεται ἐπὶ τῆς δεινῆς μὴ καταλήψεως τῆς φωτιστικῆς δράσεως τοῦ ὀρθοδόξου κλήρου ἐν Ῥωσσίᾳ, καὶ ἐπὶ τῆς ἐπιθυμίας τοῦ προσαρμόσαι ταῖς σχέσεσιν ἡμῶν τῶν Ῥώσσων ἀλλοτρίας ἡμῖν καὶ τῇ ῥωσσικῇ ἱστορίᾳ ἐννοίας. Δέον ἄρξασθαι ἀπὸ τούτου, ὅτι ἐν γένει ὑπὸ τὸν κληρικισμὸν συνήθως ἐννοοῦσι τὴν παρέμβασιν τῆς Ἐκκλησίας καὶ τοῦ κλήρου εἰς τὴν κυβέρνησιν τοῦ κράτους. Ἐν τῇ Δύσει, ἰδίᾳ ἐν χώραις καθολικῶν, ὁ φόβος πρὸ τῆς ἐνισχύσεως τοῦ κληρικισμοῦ ἐξηγεῖται, διὰ τῆς ἐξ ἀρχῆς διχονοίας μεταξὺ τῆς Ἐκκλησίας καὶ τοῦ κράτους, διὰ τῆς ἀκορέστου τάσεως τοῦ Λατινικοῦ κλήρου πρὸς ἐξουσίαν, διὰ τῆς διηνεκοῦς καὶ ἐπιμόνου ἐπιθυμίας αὐτοῦ ἐκπληροῦν τὰ προστάγματα, τὰ ἐκ τοῦ Βατικανοῦ, ἐκ τῆς οἱονεὶ ἀναμαρτήτου κεφαλῆς τῆς Ῥωμαϊκῆς Ἐκκλησίας. Εὐνόητον, ὅτι ἡ ἐμφάνισις τούτων τῶν ἀλλοτρίων τῇ χώρᾳ καὶ οὐ σπανίως πολεμίων αὐτῇ ἀρχῶν, προκαλεῖ φυσικὴν ἀντίστασιν ἐκ μέρους τῶν θεωρούντων, ὅτι ἡ διακονία τῇ ἰδέᾳ τῆς παπικῆς παντοδυναμίας οὐ πάντοτε ἀνταποκρίνεται τῷ ἀληθεῖ συμφέροντι καὶ ταῖς ἀνάγκαις τοῦ λαοῦ. Ὁ κλῆρος, ὁ τυφλῶς ὑποτασσόμενος τῷ παπικῷ θρόνῳ, προκαλεῖ τὴν κατάκρισιν τῶν ἐναντίων, οἵ, πρὸς λύπην, οὐ σπανίως πολεμοῦντες κατὰ τοῦ παπισμοῦ, οὐ φείδονται καὶ τοῦ χριστιανισμοῦ. Περὶ τίνος, ἐρωτῶ, κληρικισμοῦ νοητὸν λέγειν παρ' ἡμῖν; Μὴ ὁ σεμνὸς καὶ πλειονάκις τόσῳ πτωχὸς κλῆρος ἡμῶν τείνει πρὸς ἐξουσίαν τινα; Οὐκ εἰσί που αὐτῷ ξένοι ἀρχηγοὶ πέραν τῶν ὀρέων, ἀλλ' ἔστι Μία, Ἀόρατος, Ἀναμάρτητος Κεφαλή, Χριστὸς ὁ Σωτήρ, ὁ διὰ τοῦ παραδείγματος Αὐτοῦ διδάσκων ὑψηλὴν ταπείνωσιν, ὁ ἐλθὼν εἰς τὸν κόσμον οὐχ' ἵνα Αὐτῷ διακονήσωσιν, ἀλλ' ἵνα διακονήσῃ τῷ κόσμῳ. Ὁ κλῆρος ὁ ὀρθόδοξος, κηρύττων τὴν καθαρὰν τοῦ Χριστοῦ διδασκαλίαν, τὴν ἀλύμαντον ὑπὸ τῶν ἀνθρωπίνων παθῶν καὶ τῆς φιλαρχίας, καὶ ἐν τῇ Ἐκκλησίᾳ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐν τῇ Σχολῇ διατελεῖ ἀμεταβλήτως πιστὸς τῇ κλήσει αὐτοῦ. Διδάσκων ἐν ταῖς σχολαῖς, ὁ κλῆρος μόνον ἐκπληροῖ τὸ χρέος τῆς διδασκαλίας, ποιεῖ τὸ ἑαυτοῦ καὶ οὐ τὸ ἀλλότριον ἔργον. Διδάσκει τοὺς ἀνθρώπους τὸν νόμον τοῦ Κυρίου, στηρίζει ἐν τῇ καλῇ χριστιανικῇ ἠθικῇ, παρασκευάζει εἰς τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἐπέχει ἀπὸ τῶν πολιτικῶν. Μία ἐκ τῶν ἰδιοτήτων τῆς πολιτικῆς καὶ κοινωνικῆς εὐταξίας τῆς Ῥωσσίας ἐμπεριέχεται ἐν τῇ ἀπουσίᾳ παρ' ἡμῖν πολιτικῶν μερίδων. Ἡ ἐκ πολλῶν μιλιουνίων Ῥωσσία, ἡ ὑπὸ Στεφηφόρων ἀρχηγῶν διευθυνομένη, ἵσταται μακρὰν ἐκείνης τῆς ἠγριωμένης πάλης τῶν ἀδιαλλάκτων μερίδων, τῆς ταραττούσης σχεδὸν δι' ἐτησίων τροπῶν τοῦ βίου τὰς χώρας τῆς Δυτικῆς Εὐρώπης. Ἡ ἐθνικὴ δύναμις παρ' ἡμῖν οὐκ ἐξασθενοῦται ὑπὸ ταύτης τῆς πάλης, τῆς ἐξαντλούσης ἔστιν ὅτε τὰς κρείσσους δυνάμεις τοῦ λαοῦ καὶ σχεδὸν ἀεὶ ἀποσπώσης αὐτὸν ἀπὸ τῆς ὁδοῦ τῆς ἀσφαλοῦς καὶ εἰρηνικῆς ἀναπτύξεως. Ὁ κλῆρος ἡμῶν οὐκ ἔστι πολιτικὴ τάξις, διευθύνουσα τὰ βλέμματα αὐτοῦ εἰς τὸ ἐκ πολλοῦ παρελθὸν, ἕτοιμος καταλιπεῖν τὰ πραγματικὰ ἀγαθὰ τοῦ συγχρόνου πολιτισμοῦ χάριν τῆς ἀποκαταστάσεως τῶν προσφιλῶν αὐτῷ προνομίων. Ὁσίως διαφυλάττουσα τὰς ἀρχὰς τῆς χριστιανικῆς ἠθικῆς, τὰς ἀποκαλυφθείσας ἐν τῷ Εὐαγγελίῳ, ἡ Ἐκκλησία ἡ ὀρθόδοξος ἐφαρμόζει αὐτὰς ταῖς συνθήκαις τοῦ χρόνου καὶ τοῦ τόπου πρὸς ὄφελος τῆς ἀνθρωπότητος. Παρ' ἡμῖν οὐκ ἔστι Βατικανὸν, οὐκ εἰσὶ πολιτικαὶ μερίδες, οὐκ ἔστι καὶ οὐ δύναται εἶναι κληρικισμὸς, ἀλλ' ἔστιν ἡ Ἐκκλησία ἡ ὀρθόδοξος, ἡ φροντίζουσα περὶ τούτου, ὅπως οἱ ἄνθρωποι τῆς Ῥωσσικῆς γῆς αὐξάνωσιν ἐν τῇ ἠθικῇ δυνάμει καὶ δεικνύωσιν ἑαυτοὺς καλοὺς χριστιανούς.

Ὁ ἄληστος Τσάρος ὁ Εἰρηνοποιὸς ἐνόησε τὴν ἀξίαν τῆς Ἐκκλησιαστικῆς σχολῆς. Κατὰ τὸν κραταιὸν Αὐτοῦ λόγον, αὐτὴ ἐκ νέου ἀνεγεννήθη καὶ, τρεφομένη ὑπὸ τῆς ἀγάπης τοῦ λαοῦ, ἐν βραχεῖ ἐφίκετο σπουδαίας ἀναπτύξεως. Οἱ ἀριθμοὶ λέγουσιν εὐγλωττότερον τῶν λόγων. Περὶ τὴν 1-ην Ἰανουαρίου 1898 ἔτους πᾶσαι αἱ Ἐκκλησιαστικαὶ σχολαὶ ἦσαν 38,837 μετὰ 1.339,768 διδασκομένων, καὶ κατὰ τὸ παρελθὸν ἔτος ὁ ἀριθμὸς τῶν σχολῶν ηὐξήθη κατὰ 2,540. Ἐκ τῆς παρὰ τῷ Συμβουλίῳ τῶν Σχολῶν ἀποθήκης ἀπὸ τοῦ 1891 ἔτους μέχρι τοῦ νῦν ἐπωλήθη πλέον τῶν $10^1/_2$ μιλιουνίων βιβλίων πρὸς 1.650,000 ῥούβλια. Πολλὰ ἐπράχθησαν, ἀλλ' ἔτι πλέον ἔργον εἰς τὸ λοιπὸν, πολλὰ εἰσὶν ἔτι ἐν τῇ ἀχανεῖ ἐκτάσει τῆς μεγάλης πατρίδος ἡμῶν χωρία καὶ κῶμαι ἄνευ σχολῶν, πολλαὶ δεκάδες χιλιάδων παιδίων προσδοκῶσι διδασκάλους. Πιστεύσωμεν, ὅτι σχολαὶ ἱδρυθήσονται, ὅτι ἐν αὐταῖς ἄρξεται ἡ διδασκαλία. Ἡ Ἐκκλησιαστικὴ σχολὴ, ἡ συντελοῦσα τῇ ἠθικῇ ἀγωγῇ καὶ τῇ διανοητικῇ ἐπιδόσει τοῦ λαοῦ, ἀναμφιβόλως ἔσται μία τῶν στερεῶν βάσεων τῆς ἐθνικῆς δυνάμεως τῆς Ῥωσσίας. (См. Прибавл. къ Церков. Вѣдом. за 1898 г. № 26. Стран. 972—975).

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# XXIII.

## ΛΟΓΟΣ

### ἐν τοῖς παιδαγωγικοῖς μαθήμασι τῶν διδασκάλων τῶν ἐκ δύο τάξεων σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν ἐν Μόσχᾳ τὴν 6 Ἰουλίου 1898 ἔτους.

Τὰ διδασκαλικὰ μαθήματα, τὰ νῦν πανταχοῦ ἀρχόμενα, προσκομίσουσιν ἀναμφίβολον ὠφέλειαν τῇ ἀναπτύξει τῆς Ἐκκλησιαστικῆς σχολῆς, εἰ συνεργήσουσι τοῖς καὶ ταῖς διδασκάλοις νοῆσαι ἐκείνας τὰς βάσεις τῆς ἀγωγῆς, ἃς κέκτηται αὕτη ἡ σχολή. Ἡ δρᾶσις τοῦ διδασκάλου ἔσται ἐπιτυχής, εἰ οὗτος ἐμπνευσθήσεται τῇ τάσει πρὸς πραγμάτωσιν τοῦ ἰδανικοῦ τῆς διδασκαλικῆς διακονίας αὐτοῦ. Οἷον δὲ δεῖ εἶναι τοῦτο τὸ ἰδανικόν; Μέγα καὶ ὑπεύθυνον ἔργον ἀνετέθη ὑμῖν τοῖς διδασκάλοις τοῦ λαοῦ. Ὑμῖν ἐμπιστεύεται ἡ διανοητικὴ καὶ ἠθικὴ ἐπίδοσις τῶν μελλουσῶν γενεῶν· ὑμεῖς ὀφείλετε κεκτῆσθαι οὐ μόνον καλὴν ἐπιστημονικὴν· προπαρασκευήν, ἀλλὰ καὶ ὀφείλετε εἶναι ἄνθρωποι πιστεύοντες, παραδεδομένοι τῇ κλήσει ἑαυτῶν, ἔχοντες σταθερὰν χριστιανικὴν διάθεσιν καὶ κῦρος, οὗ ἄνευ ἡ διδασκαλία οὐ νοητή, καὶ δὴ ἐν τῇ πτωχοτάτῃ προκαταρκτικῇ σχολῇ. Οἱ καλοὶ διδάσκαλοι, οἱ καθαροὶ φορεῖς τῶν ἰδεῶν τῆς χριστιανικῆς ἀγωγῆς. μέλλουσιν ἄγειν τοὺς μαθητὰς εἰς τὸ φῶς, τὴν δικαιοσύνην καὶ τὸ καλόν. Ὅπως ἀνατρέφῃ τὰ παιδία, δύνηται χειραγωγεῖν τὴν ἀνάπτυξιν τῶν λογικῶν τάσεων αὐτῶν καὶ στηρίζειν αὐτὰ ἐν τῷ ἀγῶνι κατὰ τῶν κακῶν κλίσεων, ὁ διδάσκαλος αὐτὸς ὀφείλει εἶναι, πρώτιστα, στεῤῥὸς ἐν ταῖς θρησκευτικαῖς αὐτοῦ πεποιθήσεσιν, ὀφείλει συμμορφοῦν τὸν βίον αὐτοῦ ἐκείνῳ, ὃ ἐν τῷ Χριστῷ βλέπει, ἢ παρὰ τοῦ Χριστοῦ ἀκούει. Σπουδάζων ζῆν σὺν Χριστῷ, αὐτὸς ὀφείλει καὶ τοὺς μαθητὰς αὐτοῦ ἀγαγεῖν πρὸς τὸν Χριστόν, τὸ φῶς τὸ αἰώνιον. Συνειδητῶς ἀγαπῶν τὴν Ὀρθόδοξον Ἐκκλησίαν, αὐτὸς ὀφείλει καὶ τοὺς μαθητὰς ἀνατρέφειν ἐν ἀνυποκρίτῳ ἀγάπῃ καὶ ἀφοσιώσει πρὸς αὐτήν. Ἡ μετ' αὐτῶν ἐν προσευχῇ μέθεξις ὀφείλει συνάψαι αὐτοὺς τῷ συνδέσμῳ τῆς ἀγάπης ἐν τῇ ἑνώσει τοῦ πνεύματος. Ἐπιστάμενος τὸν πλοῦτον τῶν Ἐκκλησιαστικῶν ὑμνῳδιῶν, ὁ διδάσκαλος ὀφείλει ἀναπτύσσειν ἐν τοῖς μαθηταῖς τὴν κατάληψιν τοῦ ἀμιμήτου κάλλους τῶν εὐχῶν τῆς Ὀρθοδόξου Ἐκκλησίας. Ὀφείλει ἀναπτύσσειν ἐν αὐτοῖς ἀγάπην πρὸς τὴν πατρίδα καὶ ἀποκαλύπτειν αὐτοῖς τὴν ἀναγκαιότητα τῆς μετ' αὐταπαρνήσεως διακονίας τῷ Τσάρῳ καὶ τῇ πατρίδι. Ἡ σχολὴ ὀφείλει διδόναι τοῖς μαθηταῖς ἀκέραιον διάθεσιν, ὀφείλει ἐπιτιθέναι αὐτοῖς τὴν ὡρισμένην σφραγῖδα αὐτῆς. Ἡ τοιαύτη ἐπίδρασις τῆς σχολῆς οὐδεποσῶς ἐκποδὼν ποιεῖται τὸ δυνατὸν τῆς ἀνεξαρτήτου ἀναπτύξεως τῶν ἐκκρίτων μαθητῶν. Ἡ καλὴ ἀγωγὴ οὐδαμῶς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καταπνίγει τὴν αὐθύπαρκτον ἀρχὴν, ἀλλ' ἐμφυτεύει τοῖς μαθηταῖς ἐκείνην τὴν κοινότητα τῶν θεωριῶν καὶ τῶν ἕξεων, ἥτις ἐξασφαλίζει αὐτοῖς μείζονα πρόοδον ἐν τῷ βιωτικῷ ἔργῳ αὐτῶν. Ἀνάγκη ἰδίᾳ πειρᾶσθαι τοὺς μέλλοντας διδασκάλους στηρῖξαι ἐν ταύτῃ τῇ ἰδέᾳ, ὅτι ὁ διδάσκαλος δύναται τότε μόνον ὑπολογίζεσθαι τὴν πρόοδον τῆς διδασκαλίας αὐτοῦ, εἰ μέλλει ἔχειν ἐν νῷ, ὅτι οὐδέποτε ὀφείλει εἶναι σκάνδαλον τοῖς μαθηταῖς αὐτοῦ. Μακρὰν ἀπ' αὐτοῦ ὀφείλουσιν εἶναι αἱ κακίαι καὶ τὰ πλημμελήματα, μὴ συμβιβαζόμενα τῇ ὑψηλῇ διακονίᾳ αὐτοῦ. Οὐαὶ τῷ διδασκάλῳ, τῷ σκανδαλίζοντι τὰ παιδία· τὸ κακὸν παράδειγμα αὐτοῦ δύναται ἀγαγεῖν αὐτὰ εἰς τὴν ἀπώλειαν. Αὕτη ἡ συνείδησις τῆς εὐθύνης ἐπὶ τοῖς ἐμπιστευθεῖσι τῷ διδασκάλῳ παιδίοις ὀφείλει ἀεὶ προσεῖναι αὐτῷ. Ἀνατρέφων τὰ παιδία ἐν τοῖς κανόσι τῆς ἀνυποκρίτου χριστιανικῆς εὐσεβείας, ἀναπτύσσων ἐν αὐτοῖς ἀγάπην πρὸς πᾶν τίμιον, ὑψηλὸν, ἐπωφελὲς τοῖς ἄλλοις, ὁ διδάσκαλος ὀφείλει συντελεῖν τῇ ἠθικῇ ἀναπτύξει τῶν μαθητῶν. Τῇ ἀναγνώσει μετ' αὐτῶν καλῶν βιβλίων, ταῖς διηγήσεσιν ἐκ τῆς γενικῆς, πατρίου καὶ Ἐκκλησιαστικῆς Ἱστορίας, ὀφείλει καταστῆσαι αὐτοῖς γνωστοὺς τοὺς ἄνδρας, τοὺς μετ' αὐταπαρνήσεως μοχθήσαντας ἐπὶ τῷ κοινῷ ἀγαθῷ. Δηλώσει αὐτοῖς, ὅτι παρὰ τοῖς ὑλικοῖς συμφέρουσιν εἰσὶ συμφέροντα ἠθικὰ, συμφέροντα ἀνωτάτης τάξεως. Ὁμιλῶν περὶ τοῦ ἐφημέρου καὶ τοῦ παρερχομένου, ὀφείλει λέγειν αὐτοῖς περὶ τοῦ ἀμετατρέπτου καὶ αἰωνίου, ὁμιλῶν περὶ γῆς, ὀφείλει λέγειν περὶ οὐρανοῦ. Ἡ σχολὴ ἡ Ἐκκλησιαστικὴ ὀφείλει, κατ' αὐτὴν τὴν οὐσίαν αὐτῆς, στρέψαι ἰδίαν προσοχὴν ἐπὶ τοῦτο τὸ ἐσωτερικὸν παιδαγωγικὸν μέρος τοῦ σχολικοῦ ἔργου. Τῇ ἀναπτύξει τῆς χριστιανικῆς περὶ κόσμου θεωρίας τῶν τροφίμων αὐτῆς, αὐτὴ ὀφείλει ἀποτρέπειν αὐτοὺς ἀπ' ἐκείνης τῆς μονομεροῦς ῥοπῆς εἰς τὰ ὑλικὰ ἀγαθὰ, ἥτις συνίστησι μίαν ἐκ τῶν λυπηρῶν φαινομένων τοῦ τέλους τοῦ ΙΘ'. αἰῶνος. Ἡ τοιαύτη σχολὴ, καὶ κατὰ τὸν ταραχώδη ἡμῶν χρόνον, μέλλει διαφυλάττειν ἐν τῇ νέᾳ γενεᾷ ἐκείνην τὴν πιστότητα τῷ θελήματι τοῦ Θεοῦ, ἥτις καθ' ἅπαντας τοὺς χρόνους μέχρι τοῦδε ἔζη ἐν τῇ ψυχῇ τοῦ ὀρθοδόξου Ῥώσσου. Ἡ πατριαρχικὴ ἁπλότης τοῦ ἀγροτικοῦ βίου, ἡ τήρησις τῶν φίλων παραδόσεων τῆς ἀρχαιότητος ὑποχωροῦσι νῦν τὸν τόπον ταῖς μᾶλλον συνθέτοις μορφαῖς τοῦ κοινωνικοῦ βίου καὶ τῷ πνεύματι τῶν ἐπικρατουσῶν ἰδεῶν. Ἀλλ' ἡ ἄνισος διανέμησις τοῦ πλούτου προκαλεῖ ὅλην σειρὰν πολυπλόκων κοινωνιστικῶν ζητημάτων. Ἓν τῶν ἰσχυροτάτων καὶ συνετωτάτων μέσων, τῶν ἐξασφαλιζόντων τὸν εἰρηνικὸν ῥοῦν τῆς ζωῆς τῆς μορφώσεως τοῦ λαοῦ, παρίσταται ἡ σχολὴ, ἥτις, διδοῦσα τοῖς τροφίμοις αὐτῆς στοιχειώδεις γνώσεις, συνάμα κανονικῶς ἀνατρέφει αὐτοὺς ἐν τῇ χριστιανικῇ περὶ κόσμου θεωρίᾳ, τούτῳ τῷ ἀσφαλεστάτῳ ἐρύματι κατὰ τοῦ ὀλεθρίου χειμάρρου τῶν διδασκαλιῶν τοῦ κοινωνισμοῦ. Ἐκ τῶν εἰρημένων δῆλον, ὅτι πᾶσα αὕτη ἡ κοπιώδης ἐργασία, ἡ τείνουσα εἰς τὴν ἠθικὴν ἀγωγὴν τῶν διδασκομένων, οἰκοδομητέα ἐπὶ ἀρχῶν χριστιανικῶν. Ἐκτὸς τῆς εὐαγγελικῆς διδασκαλίας οὐκ εἰσὶν, οὐδὲ δύνανται εἶναι ἀμετάτρεπτοι κανόνες τῆς ἠθικῆς τάξεως.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἐν ταῖς ἐκ δύο τάξεων σχολαῖς τοῖς διδασκάλοις, τοῖς ἐστηριγμένοις ἐν τῇ καταλήψει τῶν ὑψηλῶν ἰδανικῶν τῆς ἀγωγῆς, μέλλει ἀεὶ παρίστασθαι τὸ δυνατὸν ὠφελεῖν τοὺς διδασκομένους. Αἱ σχολαὶ αὗται, ὡς γνωστόν, ἐκπρέπουσι τῶν λοιπῶν Ἐκκλησιαστικῶν τῇ παρ' ἑκάστῃ τούτων ὑπάρξει κοινοβίου. Οἱ διδασκόμενοι μέλλουσι ζῆν ἐν ταύταις ταῖς σχολαῖς ἀπὸ τριῶν μέχρι πέντε ἐτῶν· καὶ διὰ τοῦτο εὐνόητον, ὅτι ἡ τάξις ἁπάσης τῆς σχολικῆς ζωῆς μέλλει συντελεῖν τῇ ἀγωγῇ τῶν διδασκομένων, συμφώνως ἐκείνῳ τῷ σκοπῷ, οὗ ἕνεκα αὐτοὶ εἰσῆλθον εἰς ταύτας τὰς σχολάς. Κοινῇ προσευχῇ ἄρχεται ἡ σχολικὴ ἡμέρα. Ὡς φιλικὴ οἰκογένεια ὀφείλουσι συνέρχεσθαι εἰς τὴν προσευχὴν οἱ διδάσκοντες καὶ οἱ διδασκόμενοι. Οὐαὶ τῇ σχολῇ, ἐὰν ἡ προσευχὴ μετατρέπηται εἰς ἐκπλήρωσιν μιᾶς μόνον τυπικότητος. Ὁ ἔμπειρος χειραγωγὸς ἐφορᾷ ἐπὶ τῆς εὐσεβοῦς καὶ οὐσιώδους ἀναγνώσεως· εἰς τὴν ψαλμῳδίαν·ἑλκύει πάντας τοὺς διδασκομένους, φροντίζει, ὅπως αὕτη, τῷ κάλλει καὶ τῇ εὐφωνίᾳ διατιθῇ πρὸς ἑαυτὴν τὰς καρδίας τῶν ψαλλόντων. Τῇ προσευχῇ ἕπεται τὸ ἄριστον· εἶτα ἄρχονται τὰ μαθήματα, τὰ ἀεὶ παρέχοντα τῷ διδασκάλῳ τὸ δυνατὸν ἐγγὺς προσέχειν ταῖς ἰδιότησι τοῦ νοὸς καὶ τῆς ἠθικῆς ἕξεως τοῦ μαθητοῦ. Ὁ διδάσκαλος ὁ μὴ ἐγκυλισθεὶς τῇ συνηθείᾳ, ἀεὶ γνώσεται συμμορφωθῆναι τῷ μαθητῇ καὶ δεόντως ἐπιδρᾶν ἐπὶ τῆς διανοητικῆς καὶ ἠθικῆς ἐπιδόσεως αὐτοῦ. Ἀλλ' ἰδοὺ ἐπέστη ὁ καιρὸς τοῦ γεύματος, καὶ πόσον καλόν, εἰ οἱ διδάσκαλοι μετέχουσι τῆς τραπέζης τῶν μαθητῶν. Αὕτη ἡ κοινὴ τράπεζα προσπελάζει αὐτούς· ἐνταῦθα οὐκ ἔστι διχόνοια, ἐνταῦθα τὴν νηστείαν οὐ καταλύσουσι. Καὶ δὴ ὁ μετὰ τὰς ἀσχολίας χρόνος, ὁ ἀφιερωθεὶς τῇ ἀναπαύσει, δύναται παρελθεῖν οὐκ ἄνευ ὠφελείας ἐν ταῖς σχολαῖς, παρ' αἷς εἰσὶ κῆποι καὶ λαχανεῖαι. Οὐχὶ ἐν στενοῖς κονιορτώδεσι δωματίοις γίνονται ἐνταῦθα αἱ ἀσχολίαι περὶ τὴν γυμναστικήν, ἀλλ' ἐν εὐρυχωρίᾳ γυμνάζονται οἱ μαθηταὶ ἐν ἔργῳ, ἐπωφελεῖ τῇ φυσικῇ ἀναπτύξει αὐτῶν καὶ χρησίμῳ αὐτοῖς μετὰ τὴν ἐκ τῆς σχολῆς ἔξοδον. Αὕτη ἡ κοινὴ ἐργασία ἐν τῷ κήπῳ, τῇ λαχανείᾳ, ἢ ἐν τῷ μελισσουργείῳ, ἤ, ἐπὶ τέλους, ἐν ἰδίοις ἐργαστηρίοις, παράγουσα τὴν τόσῳ ἀναγκαίαν διὰ τὴν σχολὴν καὶ τὸν διδάσκαλον πρόσοδον τοῖς σιτίοις καὶ τοῖς χρήμασι, σύναμα συντελεῖ καὶ τῇ προσεγγίσει τῶν διδασκάλων μετὰ τῶν μαθητῶν. Κατὰ τὴν ἑσπερινὴν προσευχὴν αὐτοὶ αὖθις συνέρχονται. Παρὰ τῷ κοιτῶνι τῶν διδασκομένων ζῇ ὁ διδάσκαλος. Ὁ εἰρηνικὸς ὕπνος τῶν μαθητῶν οὐ λείπεται ἄνευ τῆς ἐπόψεως αὐτοῦ. Ἐν τοῖς τοιαύταις συνθήκαις τῆς σχολικῆς ζωῆς, τοῖς διδάσκουσιν ἀεὶ δοθήσεται τὸ δυνατὸν ἐφορᾶν, ὅπως οἱ διδασκόμενοι προσκτῶνται καλὰς ἕξεις, ὅπως μεταξὺ ἀλλήλων ζῶσιν ἐν εἰρήνῃ καὶ ἁρμονίᾳ, μηδέποτε ποιῶνται χρῆσιν οὐ μόνον ὑβριστικῶν, ἀλλὰ καὶ ἀγρίων λέξεων, ὅπως μηδαμῶς ἐπιτρέπωσιν ὠμότητας ἐν τῇ μετὰ τῶν ζώων ἀναστροφῇ, μὴ καταλύωσι φωλεὰς πτηνῶν· ὅπως αὐτοὶ καὶ τὴν ἐξωτερικὴν ὄψιν ἔχωσι κοσμίαν, ὦσιν ἐκτενισμένοι, νενιμμένοι καὶ ἀγαπῶσι τὴν καθαριότητα. Ἡ τοιαύτη φροντὶς περὶ τῆς ἀγωγῆς τῶν διδασκομένων ἐν ταῖς ἐκ δύο τάξεων σχολαῖς ἔχει

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἰδίαν ἀξίαν, διότι αἱ σχολαὶ αὗται παρασκευάζουσι τοὺς διδασκάλους διὰ τὰς σχολὰς τῶν γραμμάτων. Οὗτοι οἱ διδάσκαλοι, ὡς δεῖ, ὄντες παρεσκευασμένοι εἰς τὴν διδασκαλίαν, γνώσονται καλῶς διδάσκειν τὰ παιδία, στηρίζοντες αὐτὰ ἐν καλοῖς χριστιανικοῖς αἰσθήμασιν, ἐν τῇ ἀφοσιώσει τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ, ἐν τῇ ἀγάπῃ πρὸς τὸν Τσάρον καὶ τὴν πατρίδα. (См. Прибавл. къ Церков. Вѣдом. за 1898 г. № 28. Стр. 1053—1055).

# XXIV.

## ΛΟΓΟΣ

### ἐν τῷ οἰκήματι τοῦ ἀρχιερέως τῶν Τούλων, πρὸς τὰ μέλη τοῦ Ἐκκλησιαστικοῦ συνεδρίου (Κονσιστορίου), τὴν 25 Αὐγούστου 1898 ἔτους.

Χθὲς βαθέως ἐχάρην ἐπὶ πᾶσι τούτοις, ἃ ἔδειξέ μοι ὁ Πανιερώτατος Δεσπότης· Ἦμεν ἐν τῷ Σεμιναρίῳ. Ἐκεῖ σχεδὸν ᾠκοδομήθη ἤδη λαμπρὸς μεγαλοπρεπὴς ναὸς τῆς Σοφίας καὶ ὑπ' αὐτὸν μέγα κοινοβιακὸν ἑστιατόριον. Εἶτα ἐθεωρήσαμεν τὴν οἰκοδομὴν τοῦ οὐχ ἧττον μεγαλοπρεποῦς ναοῦ τῆς Σιῶνος ἐν τῷ κηροποιείῳ τῆς ἐπαρχίας. Ἡ ἐπίσκεψις μετὰ τοῦτο δύο ἔτι τόπων ἐν ταῖς ἄπω ἐσχατιαῖς τῆς πόλεως, ὅπου ὡρίσθη καὶ ἤδη ἤρξατο ἡ οἰκοδομὴ τῶν ναῶν τοῦ ἁγίου Θεοδοσίου καὶ τοῦ Θαύματος *) τῆς Ὑπεραγίας Θεοτόκου, ἐπηύξησε τὴν χαράν μου, ἣ ἐπὶ μακρὸν ἀφήσει ἐν τῇ ψυχῇ μου παρήγορον αἴσθησιν. Ἐν πᾶσι τούτοις ἀδύνατον μὴ ὁρᾶν τὴν σπουδαιοτάτην προθυμίαν καὶ πρόνοιαν Σοῦ, Πανιερώτατε Δέσποτα. Σὺ οὕτως ἐν τάχει κατεῖδες, τί ἐλλείπει τῇ ποίμνῃ Σου. Ἐπηύξησας ἐν πολλοῖς ναοῖς τῶν Τούλων τὸν ἀριθμὸν τῶν ἱερῶν λειτουργῶν τῆς Ἐκκλησίας, νῦν δὲ οἰκοδομεῖς ναούς. Κατεστοχάσθης τῶν ἀναγκῶν, τῆς πνευματικῆς ἀνάγκης καὶ τοῦ πόθου τοῦ ποιμνίου Σου, τοῦ ζῶντος μακρὰν τῶν ναῶν τοῦ Θεοῦ. Ὅτε ἤλθομεν εἰς τὸν τόπον τῆς οἰκοδομῆς τοῦ ναοῦ εἰς τὸ ὄνομα τῆς Εἰκόνος τοῦ Θαύματος τῆς Θεομήτορος, ἐν ταῖς ὁδοῖς οὐκ ἦν οὐδεμία ψυχή. Ἀλλ' ἡμεῖς οὐκ ἐφθάσαμεν θεωρήσαντες τὸν τόπον, καὶ ἡ ὁδὸς ἡ ἐγγὺς τούτου τοῦ τόπου ἐπληρώθη ὑπὸ πλήθους λαοῦ. Ἀνάγκη ἦν ὁρᾶν καὶ ἀκούειν τὰς μεγαλοφώνους, ζώσας, γνησίως ἁπλᾶς ἐκφράσεις τῶν εὐγνωμόνων αἰσθημάτων τούτου τοῦ ἁπλοῦ λαοῦ τῷ Δεσπότῃ αὐτοῦ, ὅπως ἱκανῶς ἐννοήσῃ τις, οἵῳ ἐπωφελεῖ, σωτηρίῳ ἔργῳ Σὺ

*) Σημείωσις: 27 Νοεμβρίου ἑορτάζεται εἰς μνήμην τῆς νίκης τῶν Νοβογορόδων κατὰ Ἀνδρέου Θεοφιλοῦς τὸ 1170 ἔτος διὰ θαύματος τῆς εἰκόνος τῆς Θεομήτορος (ἐν Νοβογορόδῳ). (Ὅρα: «Ἡμέρας θείας λειτουργίας» ὑπὸ τοῦ πρωθιερέως Γ. Σ. Δεμπόλσκη. Τομ. I. Σελ. 160—162. Ἔκδοσις Η'. Ἐν Πετρουπόλει).



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπεχείρησας, μεθ' οἵου ρυθμοῦ ἡ ἀγαπῶσα ποιμαντικὴ καρδία Σου κατεστοχάσθη τῆς οὐσιωδεστάτης ἀνάγκης τούτων τῶν ἁπλῶν ψυχῶν, καὶ πόσον ἔτι ἐν αὐταῖς πολλὰ ἐν αὐταῖς ἀγαθὰ αἰσθήματα ἀγάπης πρὸς τὸν ἀρχιποίμενα αὐτοῦ, πρὸς τὴν Ἐκκλησίαν αὐτοῦ, παρορωμένου τούτου, ὅτι οὗτος ὁ ἁπλοῦς καὶ πτωχὸς λαὸς οὕτω πρὸ πολλοῦ ἦν ἐρριμμένος εἰς τοὺς ἀσήμους μυχοὺς τῆς πόρρω κειμένης ἐσχατιᾶς τῆς πόλεως. Χαλεπὸν ἐξαριθμῆσαι πάντας ἐκείνους τοὺς κινδύνους, οἳ ἠπείλουν αὐτοὺς ἐν τῇ ἀκουσίῳ αὐτῶν ἀποξενώσει ἀπὸ τῶν ἁγίων ναῶν. Ἰδίᾳ τινι ἐλέει Θεοῦ αὐτοὶ διεφυλάχθησαν ἀπὸ τῶν σκανδάλων τοῦ σχίσματος, οὕτως εὐχερῶς εὑρίσκοντος τὴν ἄγραν αὐτοῦ ἐν ὁμοίαις ἐσχατιαῖς. Ὁ δὲ Στουνδισμὸς, ὁ νῦν κρυπτόμενος ὑπὸ τὸ ὄνομα τοῦ Βαπτισμοῦ, οὕτω περιτρέχει πανταχοῦ, ὅπου μόνον ἀσθενὴς ἡ ποιμαντικὴ ἐπιστασία. Τὰ Τοῦλα, ὡς καὶ αἱ ἄλλαι πόλεις τῆς ἐντὸς Ῥωσσίας, οὐκ ἀσφαλῆ ἀπὸ τῆς προσβολῆς τούτου τοῦ ἐχθροῦ τῆς Ὀρθοδοξίας. Ὡς τὸ ἐξάνθημα, ὡς ἡ φλύκταινα, ἐν τῷ σώματι τῆς Ὀρθοδόξου Ἐκκλησίας πασῶν τῶν Ῥωσσιῶν ἐν διαφόροις τόποις παροικοῦσιν οἱ κήρυκες τοῦ Στουνδισμοῦ—ἐν διαφόροις εἴδεσι καὶ ὑπὸ διάφορα ὀνόματα. Εἰ οὕτως ἢ ἄλλως ἀσθενεῖ ἡ ποιμαντικὴ ἀγρυπνία, ἡ μηδαμινὴ φλύκταινα ἀναπτύσσεται εἰς κακοήθη ἐμπύησιν. Οἱ τῶν αἱρέσεων διδάσκαλοι πανταχοῦ πειρῶνται διαδοῦναι τὴν διδασκαλίαν αὐτῶν, καὶ ταῦτα μετὰ τῆς προθυμίας καὶ τῆς αὐταπαρνήσεως, τῆς αἱρετῆς πρὸς κρείσσους σκοπούς. Ἀλλ' ὡς τὰ νοσοποιὰ μικρόβια ἀπαντῶσιν ἀντίστασιν ἑαυτοῖς ἐν τῷ ὑγιεῖ σώματι, ἐν δὲ τῷ ὀργανισμῷ τῷ ἐξησθενηκότι εὑρίσκουσιν ἑαυτοῖς φίλην χώραν, οὕτω καὶ ἡ αἵρεσις, ἡ ὁμοία τῷ Στουνδισμῷ, οὕτω καὶ τὸ σχίσμα, ζητεῖ τὴν ἄγραν αὐτοῦ ἐν τοιαύταις παροικίαις, αἳ οὐκ εἰσὶ τετειχισμέναι τῇ δεούσῃ ποιμαντορικῇ ἀγρυπνίᾳ, ἐν αἷς οὐκ ἀκούεται φωνὴ ποιμαντικῆς οἰκοδομῆς. Ἐν τοῖς νοτίοις τῆς Ῥωσσίας νῦν τοῦτο ἀπέβη ἤδη πᾶσι φανερόν. Ἐκεῖ παρατηροῦνται, π. χ. τοιαῦτα φαινόμενα. Ἐμφανίζεται ἐν ἄλλῃ παροικίᾳ κῆρυξ τοῦ Στουνδισμοῦ. Ὁ ποιμὴν τῆς παροικίας, ὁ εὖ ἐξησφαλισμένος ὑπὸ τῆς παροικίας ἐν τῇ συντηρήσει, οὐ μόνον οὐκ ἀντενεργεῖ τῇ διαδόσει τῶν δοξασιῶν αὐτοῦ, ἀλλ' ὅπερ ἔτι χεῖρον, κρύπτει, καὶ ὡς τὸ πολὺ καὶ αὐτὸς οὐ βλέπει, ὅτι ἐν τῇ παροικίᾳ ὁ Στουνδισμὸς ταχέως αὐξάνει. Κατὰ τὰς εὐθύνας αὐτὸς δείκνυσι μόνον δύο ἢ τρεῖς Στουνδιστὰς ἐν τῇ παροικίᾳ, ἐξεταζόμενοι ὅμως αὐτοὶ εὑρίσκονται 500. Οἷον μέγα ἁμάρτημα, οἷον δεινὸν ἔγκλημα φέρει εἰς τὴν ψυχὴν αὐτοῦ ὁ τοιοῦτος ποιμήν! Ἀλλὰ καὶ πόσον διαψεύδονται τῶν ὑλικῶν αὐτῶν λογισμῶν οἱ ὅμοιοι ποιμένες τῶν παροικιῶν, τῶν ὡς τὸ πολὺ θεωρουμένων πλουσίων διὰ τὸ πολυάνθρωπον. Ἐν Πετρουπόλει πρὸ εἴκοσι ἐτῶν ἦσαν Ἐκκλησίαι πολλῷ ἐλάσσους, ἢ νῦν, ὅλως λίαν ἀνεπαρκεῖς ἐξ ἑκατόν που μυριάδων ὀρθοδόξοις κατοίκοις. Ὁ ἀριθμὸς τῶν Ἐκκλησιῶν νῦν λίαν ηὐξήθη. Καὶ τί δή, παρὰ προσδοκίαν, αἱ πρόσοδοι τοῦ κλήρου, κατὰ τοὺς λόγους αὐτῶν τῶν ποιμένων, οὐδεποσῶς ἠλαττώθησαν, ἐν πολλαῖς δὲ ἐνορίαις καὶ ηὐξήθησαν, ἀλλὰ τὸ κύριον—πᾶσιν ἐγένετο φανερὰ ἡ μεγάλη ἆρσις (ἀνύψωσις) τῆς θρησκευτικότητος,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὁ ἀριθμὸς τῶν ἐξομολογουμένων καὶ κοινωνούντων κατὰ τὰς νηστείας μάλα ηὐξήθη. Ἀνυψώσουσι τὴν θρησκευτικότητα τῶν κατοίκων τῆς πόλεως Τούλων καὶ αὗται αἱ καιναὶ Ἐκκλησίαι, αἵ, εἰκότως, οὐ χρονιοῦσιν αὐξηθῆναι ἐν ταῖς πόῤῥω κειμέναις ἐσχατιαῖς αὐτῆς. (См. Тульскія Епархіальныя Вѣдомости за 1898 г. Часть неоффиціальная № 19. 1-го Октября. Стран. 891—893).

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

## XXV.

## ΛΟΓΟΣ

ἐν τῷ Ἐκκλησιαστικῷ Σεμιναρίῳ Πετρουπόλεως, κατὰ τὴν ἔναρξιν σειρᾶς παιδαγωγικῶν μαθημάτων διὰ τοὺς καὶ τὰς διδασκάλους τῶν Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν τῆς ἐπαρχίας Πετρουπόλεως, τὴν 30 Ἰουνίου 1899 ἔτους.

Προσαγορεύω ὑμᾶς, ἀξιότιμοι διδάσκαλοι καὶ διδασκάλισσαι τῶν Ἐκκλησιαστικῶν Σχολῶν. Συνέβη ὑμῖν οὐ μακρὸν χρόνον ἀναπαυθῆναι μετὰ τὴν λῆξιν τῆς διδασκαλίας καὶ τῶν ἐξετάσεων ἐν ταῖς Σχολαῖς. Συνήχθητε διὰ νέους μόχθους καὶ θαῤῥούντως προσέρχεσθε ταῖς ἀσχολίαις. Ἐφίεσθε μαθεῖν τὰς κρείσσους μεθόδους τῆς διδασκαλίας ἑνὸς ἐκ τῶν κυρίων ἀντικειμένων τῆς σχολῆς ἡμῶν—τῆς Ἐκκλησιαστικῆς ὑμνῳδίας. Ἐπιγινώσκετε τὸ ὄφελος, τὸ προσφερόμενον ὑπὸ τῶν παιδαγωγικῶν μαθημάτων. Αὐτὰ παρέχουσιν οὐ μόνον τρόπους γινώσκειν τὸ καινὸν καὶ τελειοῦσθαι ἐν τῇ δεξιότητι περὶ τὸ διδάσκειν, ἀλλὰ πρὸς τούτῳ ὀφείλουσι διασαφηνίζειν τοῖς διδάσκουσιν ἐν ταῖς σχολαῖς τὴν ὑψηλὴν ἀξίαν τοῦ διδασκαλικοῦ ἔργου καὶ στηρίζειν ἐν αὐτοῖς τὴν ἐπίγνωσιν τοῦ κοινοῦ τῶν συμφερόντων, τῶν συνδεόντων αὐτοὺς ἐν τῇ προκειμένῃ αὐτοῖς μεγάλῃ ἐκπαιδευτικῇ ἐργασίᾳ. Ὁ σύγχρονος βίος προφαίνει τῇ σχολῇ νέας ἀνάγκας, καὶ ἡ ἐλλόγως τεταγμένη σχολὴ ὀφείλει ὑπολογίζεσθαι ἐκείνας τὰς συνθήκας, τὰς δυναμένας ὠφελεῖν τὴν ἀγωγὴν τῶν ἐρχομένων γενεῶν. Ἡ ὀρθῶς τεταγμένη σχολὴ ὀφείλει νῦν συντελεῖν τῇ εὐρύθμῳ ἀναπτύξει τῶν διανοητικῶν, ψυχικῶν καὶ φυσικῶν δυνάμεων τῶν τροφίμων. Μὴ διαστέλλειν μίαν τῶν πλευρῶν, π. χ., τὴν διανοητικήν, ἀλλ' ἀναπτύσσειν ἐν εὐρύθμῳ συνδυασμῷ πάσας τὰς δυνάμεις τοῦ παιδὸς—τοιοῦτον τὸ ζήτημα τῆς νέας σχολῆς. Ἀλλ' ἐρωτήσουσιν: ἆρά γε τὸ τοιοῦτον ζήτημα δύναται ἐκπληρωθῆναι ἐν σχολῇ προκαταρκτικῇ μετὰ τῶν μὴ διαρκῶν διετῶν, τριετῶν ἢ τετραετῶν μαθημάτων αὐτῆς;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἀναμφίβολον, ὅτι τὸ σύστημα τοῦτο δύναται μετὰ πλείονος τελειώσεως εἰσαχθῆναι ἐν τῇ σχολῇ σὺν πολυετέσι μαθήμασιν. Ἀλλὰ καὶ ἐν βραχυχρόνῳ σχολῇ ἡ ἐφαρμογὴ αὐτοῦ εὐνόητος, εἰ καὶ μεθ' ἥσσονος δυνατότητος μεγάλων προόδων. Ὁ διδάσκαλος, ὁ κεκλημένος οὐ μόνον διδάσκειν ἐν τῇ Ἐκκλησιαστικῇ Σχολῇ, ἀλλὰ καὶ ἀνατρέφειν, ὀφείλει κεκτῆσθαι στεῤῥὰν κατάληψιν θεμελιωδῶν τινῶν ἀρχῶν. Δεῖ εἰλικρινῆ θρησκευτικὴν διάθεσιν προσεῖναι αὐτῷ· τοὺς μαθητὰς ὀφείλει ἄγειν τῷ παραδείγματι τοῦ καλοῦ βίου αὐτοῦ, ἀναμιμνησκόμενος, ὅτι διδάσκειν τοῖς ἔργοις πολλῷ κρεῖσσον, ἢ τοῖς λόγοις. Ἐν συνειδήσει ἀγαπῶν τὴν ὀρθόδοξον Ἐκκλησίαν, συνεργεῖ τῷ ἱερεῖ στηρίζειν ἐν ταῖς καρδίαις τῶν διδασκομένων τὴν κατάληψιν τῆς μεγάλης ἀξίας τῆς Ἐκκλησίας ἐν τῷ ἔργῳ τῆς σωτηρίας ἡμῶν. Ταῖς διηγήσεσι περὶ τῶν παθημάτων τῶν ἁγίων μαρτύρων, περὶ τῶν ἄθλων τῶν ἀναχωρητῶν καὶ τῶν ἐρημιτῶν, περὶ τῶν πονημάτων καὶ τῶν συγγραφῶν τῶν πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας εἰσάγει τοὺς μαθητὰς εἰς τὸ κεχαριτωμένον βασίλειον τῶν ἀνθρώπων, τῶν ἀγαπησάντων τὸν Χριστὸν καὶ τὴν ἀλήθειαν ὑπὲρ πᾶσαν ἐπίγειον κενὴν εὐτυχίαν. Ἀπροσωπολήπτως ὢν παραδεδομένος τῇ Ἐκκλησίᾳ, ὁ καλὸς διδάσκαλος οὐ δύναται μὴ ἀγαπᾷν τὴν ἑαυτοῦ πατρίδα. Ἡ ἀγάπη αὕτη ἐστὶν ἡ ὀρθὴ κατάληψις ἐκείνων τῶν ἀγαθῶν, οἷς πάντες ἡμεῖς χρώμεθα ὡς μέλη τῆς μεγάλης ῥωσσικῆς οἰκογενείας, τῆς διευθυνομένης ὑπὸ τῶν πατρικῶς περὶ ἡμῶν μεριμνώντων βασιλέων. Μεγάλη ἡ ἁγία Ῥωσσία, μακρὰν ἔστησε τὰ ὅρια αὐτῆς, μεγάλην ἀξίαν ἐκλήθη ἔχειν ἐν ταῖς τύχαις τῶν ἀνθρώπων. Τὸ μεγαλεῖον αὐτῆς ἐπετεύχθη τοῖς πολυαιωνίοις μόχθοις τοῦ ῥωσσικοῦ λαοῦ, ἡ δόξα αὐτῆς ἠγοράσθη τοῖς χεμάῤῥοις τοῦ αἵματος τῶν ἀνδρείων τέκνων αὐτῆς, ἡ Ἐκκλησία αὐτῆς ἀνέτειλε τῇ ἁγιότητι καὶ τῇ δικαιοσύνῃ πολλῶν ἀσκητῶν τῆς εὐσεβείας, ἡ ἐπιστήμη αὐτῆς καὶ ἡ τέχνη ἐδοξάσθησαν πολλοῖς ὀνόμασιν, ὧν ἡ ἀξία οὐ περιωρίσθη ἐν τοῖς ὁρίοις μόνης τῆς πατρῴας χώρας. Γινώσκοντες ἅπαν τὸ ἔνδοξον παρελθὸν αὐτῆς, πῶς δυνάμεθα μὴ περὶ πολλοῦ ποιεῖσθαι αὐτό; πῶς δυνάμεθα μὴ πειρᾶσθαι, κατὰ τὸ μέτρον τῶν δυνάμεων, εἶναι ἄξιοι φορεῖς τοῦ ὀνόματος τοῦ ῥωσσικοῦ; πῶς δυνάμεθα μὴ πειρᾶσθαι τὴν πρὸς τὴν πατρίδα ἀγάπην ἐνοικίζειν ἐν ταῖς καρδίαις τῶν παίδων, τῶν ἐμπεπιστευμένων ταῖς φροντίσιν ἡμῶν; Ἀλλ' αὕτη ἡ ἀγάπη πρὸς τὴν πατρίδα καλεῖ ἡμᾶς ἀτενὲς εἰσορᾷν τὰς ἐλλείψεις, τὰς προσούσας ἡμῖν. Ἀγαπῶντες τὴν πατρίδα, ὀφείλομεν πειρᾶσθαι ἀπομακρύνειν ἐν ἑαυτοῖς πᾶν τὸ ἐξασθενίζον τὴν ἀνάπτυξιν τῆς ἰσχύος ἡμῶν. Ἐν τῷ παγκοσμίῳ ἀγῶνι τῶν ἐθνῶν, ὁ λαὸς ὁ ῥωσσικὸς δείξει ἅπαντα τὸν πλοῦτον τῶν χαρισμάτων αὐτοῦ, ὅτε ἡ σχολή, τῇ ὁδῷ τῆς κανονικῆς ἀγωγῆς ὁλοκλήρου τάξεως γενεῶν, ἐμφυτεύσει τοῖς ἀνθρώποις τὴν εὐσυνειδησίαν ἐν τῇ ἐργασίᾳ, τὴν τιμιότητα ἐν ταῖς ἀμοιβαίαις σχέσεσι, καὶ ἀναπτύξει παρ' αὐτοῖς τὴν ἐπιχειρηματικότητα καὶ τὴν ἔλλογον ἀρχήν. Ἡ σχολή, ἡ ἄγουσα εἰς τὴν ζωὴν ταύτας τὰς ἀρχάς, ἔσται σχολὴ ἐθνική, ᾠκοδομημένη ἐπὶ τῆς ἀγάπης πρὸς τὴν πατρίδα καὶ ἐπὶ τῆς ἐπιγνώσεως τοῦ χρέους ἡμῶν πρὸς αὐτήν, οὐ κατ' ἀξίαν

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πλουτίσασαν ἡμᾶς ταῖς χαραῖς τῆς ὑπάρξεως ἡμῶν, αἷς δυνάμεθα χρῆσθαι, ἅτε ἀνήκοντες τῇ μεγάλῃ οἰκογενείᾳ. Ἄρα, ὁ καλὸς διδάσκαλος οὐ δύναται μὴ ἀγαπᾶν τὴν πατρίδα. Περαιτέρω αὐτὸς οὐ δύναται μὴ ἀγαπᾶν καὶ τὴν σχολὴν, ἐν ᾗ διδάσκει. Αὕτη ἡ Ἐκκλησιαστικὴ σχολὴ, ἡ ἀνέκαθεν ἀπὸ τῆς εἰσαγωγῆς τοῦ Χριστιανισμοῦ ἐν Ῥωσσίᾳ ὑφισταμένη, ἡ ἐν ἡμέραις τῆς ἐθνικῆς ζοφώσεως ἐπιλελησμένη καὶ ὑπὸ τοῦ ἀλήστου Τσάρου-Εἰρηνοποιοῦ ἐκ νέου, καὶ ἐλπίζομεν διὰ παντὸς, κληθεῖσα εἰς ὕπαρξιν, προσφιλὴς ἐστὶ τῷ λαῷ, ἅτε ἀπαντῶσα ταῖς ἐλλόγοις αὐτοῦ ἀνάγκαις ἐν τῷ ἔργῳ τῆς ἐκπαιδεύσεως. Ἡ Ἐκκλησιαστικὴ σχολὴ ἀδιαῤῥήκτως συνδέεται μετὰ τῆς Ἐκκλησίας, ᾠκοδόμηται ἐπὶ ἀσφαλοῦς καὶ ἀσαλεύτου θεμελίου τῆς χριστιανικῆς διδασκαλίας. Αἱ χειραγωγοὶ ἀρχαὶ, αἱ ὑπ' αὐτῆς δεκταὶ γενόμεναι, εἰσὶν ἀμετάτρεπτοι. Αὐτὴ κέκτηται ἐκείνην τὴν μονιμότητα, ἣ ἀναγκαία ἐν παντὶ μεγάλῳ κοινωνικῷ ἔργῳ, καὶ δὴ ἐν τῷ ἔργῳ τῆς ἀγωγῆς. Ἡ Ἐκκλησιαστικὴ σχολὴ εἰσφέρει εἰς τὴν ζωὴν καθαρῶς χριστιανικὴν διδασκαλίαν, ᾗ οὐκ εἰσὶ προσμεμιγμέναι ἀλλότριαί τινες τῷ Εὐαγγελίῳ ἀρχαὶ, προκαλέσασαι ἐν λατινικαῖς χώραις ἀδιάλλακτον ἔχθραν πρὸς τὰς σχολὰς, τὰς κυβερνωμένας ὑπὸ τοῦ κλήρου. Ἡ Ἐκκλησιαστικὴ ἡμῶν σχολὴ οὐ φοβεῖται τὸ φῶς. Οὐκ ἔχει ἀφώνδυς χειραγωγούς. Ἡ ἥσυχος ῥοὴ τοῦ σχολικοῦ βίου οὐ παραβιάζεται τῇ πάλῃ τῶν πολιτικῶν μερίδων, ἡ σχολὴ οὐ δουλεύει μονομερέσι σκοποῖς ταύτης ἢ τῆς ἄλλης μερίδος. Καὶ ὁ κλῆρος ὁ ὀρθόδοξος, ὁ ἀπέχων τῆς δίψης τῆς ἀρχῆς, οὐδεποσῶς ἡγεῖται τὴν σχολὴν μέσον τοῦ ὑποδουλῶσαι τὴν συνείδησιν τῶν αὐξανομένων γενεῶν. Ἐγγὺς ἵσταται αὐτῇ τῇ προσφιλεῖ αὐτῷ σχολῇ καὶ καθορᾷ ἐν τῷ διδασκαλικῷ ἔργῳ μίαν τῶν ἐκφάνσεων τῆς ποιμαντικῆς αὐτοῦ δράσεως. Ἡ Ἐκκλησιαστικὴ σχολὴ, διακρινομένη τῇ μονιμότητι καὶ σταθερότητι τῆς τάσεως, οὐδεποσῶς ἀποξενοῦται τῆς ἀναπτύξεως τῶν προσθέτων γνώσεων. Αὐτὴ ἀσμένως εἰσάγει εἰς τὸν κύκλον τῶν ἀσχολιῶν αὐτῆς καὶ τὴν μάθησιν τῶν τεχνῶν, τὰ διάφορα εἴδη τῆς τέχνης, καὶ δὴ τὰς πρακτικὰς ἀσχολίας ἐν τῷ κήπῳ, ἐν τῇ λαχανείᾳ, ἐν τῷ ἀγρῷ τῆς πείρας καὶ τῷ μελισσουργείῳ τῆς σχολῆς. Ἡ σχολὴ αὕτη ἱκανὴ ἐφαρμόζεσθαι ταῖς ἀνάγκαις τοῦ χρόνου καὶ τοῦ τόπου, καὶ ἀδύνατον μὴ χαίρειν ἐπὶ τῇ ταχύτητι τῆς αὐξήσεως αὐτῆς· ὁ ἀριθμὸς τῶν σχολῶν ἐτησίως πληθύνεται. Νῦν αὐταὶ περὶ τὰς 40,000 μετὰ 1.500,000 διδασκομένων. Πόσον ἀναπτύσσεται ἡ πρὸς ἔκδοσιν δρᾶσις τοῦ Σχολειακοῦ Συμβουλίου δῆλον ἐκ τῶν ἑξῆς δεδομένων: κατὰ τὸ 1896 ἔτος ἐστάλησαν ὑπὸ τῆς ἐκδοτικῆς ἐπιτροπῆς 1.723,390 βιβλία πρὸς 294,751 ῥούβλιον καὶ 77 καπίκια· κατὰ τὸ 1897 ἔτος—2.062,859 πρὸς 367,508 ῥούβλια καὶ 45 καπίκια· κατὰ δὲ τὸ 1898 ἔτος—2.212,539 πρὸς 417,004 ῥούβλια καὶ 13 καπίκια. Ἐπὶ τὴν Ἐκκλησιαστικὴν σχολὴν ἐστράφη ἡ εὐμενεστάτη προσοχὴ τοῦ ἀγαπητοῦ Μονάρχου ἡμῶν: Κατὰ Μάϊον τούτου τοῦ ἔτους ηὐδόκησεν ἐπικυρῶσαι νέον πιστωτικὸν (credit) ἐν ποσότητι 1.850,000 ῥουβλίων διὰ τὰς χρείας τῶν Ἐκκλησιαστικῶν σχολῶν. Αἱ πολυάριθμοι συνδρομαὶ ἀκινήτοις κτήμασι

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ χρήμασιν ὑπὲρ τῶν σχολῶν μαρτυροῦσι περὶ τῆς ἀγάπης τοῦ λαοῦ πρὸς αὐτάς. Αὕτη ἡ ἀγάπη ἀναμφιβόλως ἐμψυχοῖ καὶ ὑμᾶς τοὺς μετ' αὐταπαρνήσεως ἐργάτας τῆς ἐπιστήμης, καὶ τί δυνατὸν ποιεῖν ἄνευ ταύτης τῆς μεγάλης δημιουργικῆς δυνάμεως. Μόνον ἀγαπῶν τις τοὺς παῖδας δύναται εὖ διδάσκειν καὶ ἀνατρέφειν αὐτούς. Αἱ πρῶται ἐντυπώσεις, ἃς ὁ παῖς προσκτᾶται ἐν τῇ σχολῇ ἀφιᾶσι πολλάκις ἀνεξάλειπτα ἴχνη ἐν τῇ συνειδήσει αὐτοῦ. Ὁ παῖς προσεκτικῶς καὶ συμπαθῶς ἔχει πρὸς πᾶν τὸ περιστοιχοῦν, καὶ δὴ ὅταν αὐτὸ ἔχῃ ἀξίαν καινότητος. Πλουτιζέτω δὴ αὐτὸν ἡ σχολὴ οὐ μόνον ταῖς χρησίμοις γνώσεσιν, ἀλλὰ καὶ ταῖς καλαῖς ἐντυπώσεσιν. Αὐτὴ ἡ διδασκαλία ὀφείλει, ἐν τῇ σχολῇ ἀνατρέφουσα, τείνειν εἰς τὴν μάθησιν ὑπὸ τῶν διδασκομένων τῶν γνωστῶν γνώσεων μονίμως, διὰ παντός, οὐχὶ δὲ διὰ τὴν δοκιμασίαν μόνον. Ἡ σχολὴ ὀφείλει προπαρασκευάζειν τοὺς παῖδας πρὸς ἐργασίαν τοῦ βίου, οὐχὶ δὲ πρὸς πανηγυρικὰς δοκιμασίας. Αὐτὴ ὀφείλει ἐμφυτεῦσαι τῇ συνειδήσει τῶν παίδων τὴν κατάληψιν οὐ πολλῶν, ἀλλὰ βασίμως ὅμως μεμαθημένων ἀντικειμένων. Εἶτα οἱ διδασκόμενοι ὀφείλουσι στηριχθῆναι ἐν εἰρηνικῇ χριστιανικῇ διαθέσει. Ἡ Ἐκκλησιαστικὴ σχολὴ ὀφείλει εἶναι ὁμοίωμα τοῦ χριστιανικοῦ οἴκου, οὗ τὰ μέλη συνδέονται τῇ εἰλικρινῇ ἀγάπῃ, τῇ ἀποκλειούσῃ τὴν ὕβριν, τὰς ἔριδας καὶ τὰς διχονοίας. Ὁ διδάσκαλος, φροντίζων περὶ τῆς στηρίξεως ὁμοίας διαθέσεως ἐν ταῖς καρδίαις τῶν παίδων, ὀφείλει ἀεὶ αὐστηρῶς παρακολουθεῖν ἑαυτῷ, ὀφείλει πειρᾶσθαι εἰρηνεύειν μετὰ πάντων, ἐγκρατεύεσθαι ἀπὸ τοῦ ἐρεθισμοῦ καὶ τῆς ὀργῆς, μὴ ἐπιτρέπειν ἀνισότητας ἐν τῇ ἀναστροφῇ μετὰ τῶν παίδων, ἀεὶ εἶναι εὐλαβῆ ἐν τῇ ἐκλογῇ λέξεων καὶ ἐκφράσεων τότε, ὅτε συμβαίνει αὐτῷ καλεῖν εἰς εὐταξίαν τοὺς ἀνυποτάκτους ἢ ἀπειθεῖς μαθητάς. Μακρὰν τῆς καρδίας τοῦ διδασκάλου ὀφείλει εἶναι ὁ πόθος τοῦ προσκτᾶσθαι τὴν διάθεσιν τῶν διδασκομένων θωπείᾳ τινι τῶν ἁμαρτημάτων αὐτῶν. Τοὐναντίον, πᾶσαι αἱ ἐλλείψεις τῶν μαθητῶν ὀφείλουσιν εἶναι γνωσταὶ τῷ διδασκάλῳ. Αὐτὸς ὀφείλει μετ' ἐπιμονῆς καὶ σταθερότητος ἀγωνίζεσθαι κατὰ πάσης ἐκδηλώσεως τοῦ κακοῦ. Μόνον τῇ ὁδῷ τοῦ ἀγῶνος κατὰ τῶν κακῶν κλίσεων ἡ ἀγωγὴ δύναται βαίνειν ἐπιτυχῶς. Ὁ διδάσκαλος, ἀγαπῶν τοὺς παῖδας, δικαίως καὶ αὐστηρῶς ἀνακόπτων τὰς κακὰς κλίσεις αὐτῶν, σύναμα ἐνδιαφερόντως ἔχει πρὸς πάσας τὰς συμφορὰς καὶ τὰς ἀτυχίας, τὰς κατεχούσας τοὺς μαθητὰς αὐτοῦ. Τὴν λύπην αὐτῶν δέχεται ἐγγὺς τῇ καρδίᾳ, καὶ τῷ λόγῳ τῆς παραμυθίας ἀνακουφίζει τὴν θλῖψιν αὐτῶν. Τὰ τοιαῦτα χριστιανικὰ αἰσθήματα ἀναπτύσσουσιν ἐν ταῖς καρδίαις τῶν παίδων ἐκείνην τὴν εὔνοιαν πρὸς τοὺς πλησίον, ἥ ἐστι μία τῶν προσφιλεστάτων κληρονομιῶν πάσης χριστιανικῆς κοινωνίας. Ἡ σχολή, ἡ ὀρθῶς τεταγμένη, συνήθως ἀγαπᾶται. Γνωσταί μοι εἰσὶ σχολαί, οὕτω προσφιλεῖς τοῖς μαθηταῖς, ὥστε αὐτοὶ μετὰ τὴν λῆξιν τῶν μαθημάτων οὐ βούλονται ἀπέρχεσθαι οἴκαδε. Οὕτως, ἐν μιᾷ τῶν σχολῶν τοῦ δήμου Κασσήρων, οἱ παῖδες οἱ ἐλθόντες ἐκ τῶν πέριξ χωρίων, προὔτειναν τῷ ἱερεῖ: «Πάτερ, ἐπίτρεψον ἡμῖν μὴ πορεύεσθαι οἴκαδε· ἄρτον ἠνέγκομεν μεθ'

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἑαυτῶν. Ἐνταῦθα ἡμῖν κρεῖσσον μετὰ σοῦ». Ὁ καλὸς ἱερεύς, ὁ πατὴρ Ἠλίας, ἀσμένως ἔδωκε τὴν αἰτουμένην ἄδειαν. Καὶ ἔμειναν οἱ παῖδες ἐν τῇ σχολῇ, ὅπου ἤρξαντο ποτίζειν αὐτοὺς τείῳ καὶ τρέφειν ᾧ ὁ Θεὸς ἔπεμπεν. Ἡ συῤῥοὴ τῶν παίδων εἰς ταύτην τὴν σχολὴν εὑρέθη τόσῳ σημαντική, ὥστε ἐγένετο ἀνάγκη νῦν τὸ θέρος οἰκοδομεῖν ἴδιον οἴκημα πρὸς κοίτην (νυκτερινήν). Αὕτη ἡ ῥοπὴ τῶν παίδων πρὸς τὴν σχολήν, αὕτη ἡ ἀγάπη αὐτῶν πρὸς αὐτὴν εὐγλωττότερον παντὸς λόγου λαλεῖ περὶ τῆς ὠφελείας τῆς καλῆς Ἐκκλησιαστικῆς σχολῆς διὰ τὸν λαόν. Οἱ παῖδες, οἱ ἐξελθόντες ἐκ τῆς τοιαύτης σχολῆς, διαφυλάξουσι διὰ παντὸς τὰς ἕξεις, τὰς προσκεκτημένας ἐν αὐτῇ. Αὐτοὶ εἰσελεύσονται εἰς τὸν βίον ὡς νεανίαι, καλῶς διατεθειμένοι, ἀναμιμνησκόμενοι, ὅτι οὐ μόνον διὰ τὰ ἔργα, ἀλλὰ καὶ διὰ πάντα λόγον ἀργὸν γενήσεται ἀνάγκη δοῦναι λόγον κατὰ τὴν τελευταίαν ἡμέραν τῆς κρίσεως. Αὐτοὶ ἐκκομίσουσιν ἐκ τῆς σχολῆς τὴν ἐπίγνωσιν, ὅτι ὁ χριστιανικὸς νόμος διδάσκει διδόναι τοῖς μὴ ἔχουσιν, οὐχὶ δὲ λαμβάνειν παρὰ τῶν ἐχόντων, ὡς πονηρῶς ὑποβάλλουσιν οἱ μὴ κεκλημένοι ψευδοδιδάσκαλοι. Βεβαίως, ἐν ἐκείναις ταῖς σχολαῖς μετὰ κοινοβίων, ἐν αἷς ἱδρυθήσονται διάφοροι ἀγροτικαὶ καὶ οἰκιακαὶ ἀσχολίαι ἢ τεχνῶν τμήματα, αὕτη ἡ ἱκανότης τῆς σχολῆς τοῦ παρασκευάζειν πρὸς τὴν ζωὴν εὐρυτέρας τεύξεται ἐφαρμογῆς. Ἀναγκαῖον μόνον, ὅπως τὰ πρόσωπα, τὰ χειραγωγοῦντα τοιαῦτα κοινόβια, ὀρθῶς νοῶσιν, ὅτι ἡ νέα σχολὴ τάσσει εἰς τὴν βάσιν τοῦ ἑαυτῆς ζητήματος τὴν πληρότητα τῆς ἀναπτύξεως ὅλων τῶν δυνάμεων τῶν διδασκομένων. Μεταδιδοῦσα αὐτοῖς τὰς ἀναγκαίας γνώσεις, αὐτὴ ἀναπτύσσει τῇ ὁδῷ τῆς μαθήσεως τῆς Ἐκκλησιαστικῆς καὶ κοσμικῆς ὑμνῳδίας τὴν αἰσθητικὴν αὐτῶν καὶ διδάσκει αὐτοὺς διαφόρους κλάδους τῆς τέχνης ἢ τῆς γεωργικῆς.

Ταύταις ταῖς σκέψεσι περὶ τῆς ἀξίας τῆς Ἐκκλησιαστικῆς σχολῆς καταπαύω τὴν πρὸς ὑμᾶς ὁμιλίαν. Εὔχομαι, ὅπως αἱ ἀσχολίαι ὑμῶν ἐν τοῖς παιδαγωγικοῖς μαθήμασιν ἀνακουφίσωσιν ὑμῖν τοὺς περαιτέρω μόχθους πρὸς ὄφελος τῆς ἐκπαιδεύσεως τοῦ ῥωσσικοῦ λαοῦ. (См. Прибавл. къ Церков. Вѣдом. за 1899 г. № 27, стр. 1081—1084).

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

# XXVI.

## ΛΟΓΟΣ

### ἐν τῷ Ἐκκλησιαστικῷ Σεμιναρίῳ Πετρουπόλεως, πρὸ τῆς λήξεως τῆς σειρᾶς τῶν παιδαγωγικῶν μαθημάτων, πρὸς τοὺς καὶ τὰς διδασκάλους τῶν Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν τῆς ἐπαρχίας Πετρουπόλεως, τὴν 27 Ἰουλίου 1899 ἔτους.

Μετὰ τὴν αὔριον, ἀξιότιμοι διδάσκαλοι καὶ διδασκάλισσαι τῶν Σχολῶν τῶν Ἐκκλησιαστικῶν παροικιῶν, λήξουσιν αἱ ἀσχολίαι ὑμῶν. Κατὰ τὴν κοινὴν γνώμην, ὑμεῖς εἰργάζεσθε μετ' ἀγάπης, μὴ εἰδότες ἀνάπαυσιν, καὶ ἐπιστρέψετε εἰς τὰς Σχολὰς ὑμῶν μετὰ θησαυρίσματος νέων γνώσεων ἐπὶ τῶν διαφόρων κλάδων τῆς μαθήσεως. Πολλοὶ ἐξ ὑμῶν, συντέμνοντες τὸν χρόνον τοῦ ὕπνου, λίαν πρωῒ προσήρχεσθε εἰς τὴν μάθησιν τῆς βιβλιοῤῥαφικῆς τέχνης. Εἶτα, μέχρι τῆς ἀρχῆς τῶν μαθημάτων, κατεγίνεσθε περὶ τὴν μελέτην τῆς θεωρίας τῆς Ἐκκλησιαστικῆς ὑμνῳδίας. Αὕτη ἡ δίψα τῆς γνώσεως, οὗτος ὁ πόθος τοῦ χρῆσθαι ἑκάστῃ στιγμῇ τῆς ὥρας πρὸς κτῆσιν νέων γνώσεων εὐγλώττως λαλοῦσι περὶ τῆς ὀρθῆς καταλήψεως ὑφ' ὑμῶν τῶν ὑψηλῶν καθηκόντων τῆς κλήσεως τοῦ διδασκάλου. Ἡ ὑφ' ὑμῶν μάθησις τῆς Ἐκκλησιαστικῆς ὑμνῳδίας προσκομίσει ταῖς Σχολαῖς μέγα ὄφελος. Ἡ παιδαγωγικὴ ἐξευγενιστικὴ ἀξία τῆς ὑμνῳδίας, καὶ ἰδίᾳ τῆς Ἐκκλησιαστικῆς, πᾶσι γνωστή. Ταῖς Ἐκκλησιαστικαῖς Σχολαῖς ἡ ὑμνῳδία ἀναγκαία τούτου ἕνεκεν, ὅτι τὰ παιδία, μανθάνοντα τὸ κείμενον τῶν Ἐκκλησιαστικῶν ὑμνῳδιῶν, ἀπαρατηρήτως μανθάνουσι τὴν Ἐκκλησιαστικὴν σλαβωνικὴν γλῶσσαν καὶ ἐκεῖνα τὰ γεγονότα, οἷς αἱ ὑμνῳδίαι ἀφιερωμέναι εἰσίν. Ἡ ὑψηλὴ ποίησις τῶν ἀθανάτων ποιημάτων Ἰωάννου τοῦ Δαμασκηνοῦ, Ἀνδρέου τοῦ Κρήτης καὶ ἄλλων συγγραφέων τροπαρίων καὶ κανόνων καθίσταται κτῆμα τῶν παιδίων, τῶν ἐν ταῖς Σχολαῖς διδασκομένων. Συνοικειωθέντα τῇ ὑμνῳδίᾳ, ἀγαπήσαντα αὐτήν, αὐτά, καὶ ἐξιόντα ἐκ τῆς Σχολῆς, διατελοῦσι ψάλλοντα καί, μετέχοντα ἐν τοῖς χοροῖς τῶν Ἐκκλησιῶν, τέρπουσι τῇ ἁρμονικῇ ὑμνῳδίᾳ τὸ οὖς τῶν προσευχομένων. Ὁ λαὸς ὁ ῥωσσικὸς κέκτηται σπανίαν μελῳδητικότητα. Ἄνευ ἰδίων ὁδηγῶν ἐν τοῖς χωρίοις καὶ ἐν τοῖς ἐργοστασίοις συγκροτοῦνται χοροί, ἄρχονται ψάλλειν ἐν δυσὶν ἢ τρισὶ φωναῖς· τοῖς μεγάλοις ψάλταις προσαρμόζονται ὑπηχήσεις, καὶ μεγαλοφώνως καὶ λιγυφώνως διαδίδοται ἡ ῥωσσικὴ ὑμνῳδία. Δυστυχῶς, ἐν τοῖς ἐσχάτοις οὐ σπανίως ἀκούονται ὕμνοι ἢ ὅλως φαῦλοι, ἢ μετὰ ἀτόπου περιεχομένου, ἐλεειναὶ ἀντηχήσεις μωρῶν ἀθιγγανικῶν ᾀσμάτων.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Ἡ Σχολὴ ἡ Ἐκκλησιαστικὴ ὀφείλει προφυλάττειν τὰ παιδία ἀπὸ τῆς κακῆς ἐπιδράσεως ταύτης τῆς ἐφθαρμένης ὑμνῳδίας. Ἐν αὐτῇ, εὐθὺς μετὰ τὴν Ἐκκλησιαστικὴν ὑμνῳδίαν, ὁρίζεται δέων τόπος τῇ κοσμικῇ ὑμνῳδίᾳ. Ἡ ἀρχαία δημώδης ὑμνῳδία, οἱ ὕμνοι τοῖς πρώτοις διδασκάλοις τῶν Σλαύων καὶ τῷ ἰσαποστόλῳ φωτιστῇ τῆς ῥωσσικῆς γῆς, τὰ ᾄσματα ἐκ τοῦ Δεπτοῦ τοῦ ἀρχιμανδρίτου τῆς Ἀλτάης Μακαρίου ἤδη ἀκούονται ἐν ταῖς Σχολαῖς ἡμῶν, καὶ σὺν τῷ χρόνῳ ἐκ τῶν Σχολῶν μεταβήσονται εἰς τὸν λαόν, παρέχοντα αὐτῷ, πολλάκις ἐστερημένῳ πάσης τέρψεως, χαρὰν καθαράν, μεγάλως ἐκτιμωμένην ὑπ' αὐτοῦ. Ὁ ῥῶσσος, ἀκούσας ὑμνῳδίας, πρόθυμος ἐπὶ ὥρας ἀκροᾶσθαι αὐτῆς. Προσέχων τοῖς ἁρμονικοῖς ἤχοις, αὐτὸς ὑφίσταται στιγμὰς φωτεινῆς χαρᾶς, ἀνυψούσης αὐτὸν ὑπὲρ τὴν κούφην καθ' ἡμέραν ματαιότητα. Μαθόντες τὴν ἀξίαν τῆς ὑμνῳδίας διὰ τὴν Σχολήν, ὑμεῖς, ὡς ἐγὼ εἶπον, μετ' ἀγάπης ἐνησχολεῖσθε ὁμοίως περὶ τὴν μάθησιν τέχνης, καὶ οὕτως ἐδείξατε, ὅτι ὀρθῶς κατανοεῖτε τὴν ἀξίαν τῆς Σχολῆς, τῆς κεκλημένης οὐ μόνον διδάσκειν γράμματα, ἀλλὰ καὶ ὡς δυνατὸν προπαρασκευάζειν τὰ παιδία εἰς βίον ἐργασίας. Βεβαίως αἱ ἐκ μιᾶς τάξεως Σχολαὶ ἡμῶν, ἔχουσαι δύο ἕως τριῶν ἐτῶν σειρὰν μαθημάτων, παριστῶσιν ἔτι ὀλίγα μέσα πρὸς τοῦτο, ἀλλὰ μὴν ἡμεῖς μόνον ἀρχόμεθα τοῦ Σχολικοῦ ἡμῶν ἔργου, καὶ στεῤῥῶς πιστεύομεν, ὅτι, τυγχάνοντες ἐτησίως πλειόνων μέσων, ἕξομεν πολλὰς Σχολάς, ἐχούσας διαρκεστέραν σειρὰν μαθημάτων καὶ πλείω δυνατότητα οὐ μόνον μεταδιδόναι τοῖς παιδίοις προκαταρκτικὴν μάθησιν, ἀλλὰ καὶ ἀσκεῖν αὐτὰ πρὸς χρησίμους αὐτοῖς ἀσχολίας περὶ τὴν κηπουργίαν, τὴν λαχανείαν καὶ περὶ τὴν μάθησιν διαφόρων τεχνῶν. Μὴ οἴεσθε, ὅτι πρὸς ἐπιτυχῆ μάθησιν τῶν τεχνῶν πολλὰ μέσα ἀναγκαιοῦσιν. Ἐνταῦθα ἀναγκαιοῦσι πρώτιστα ἡ ἐπιμέλεια καὶ ὁ νοῦς αὐτοῦ τοῦ διδασκάλου. Τὴν παρελθοῦσαν ἑβδομάδα συνέβη μοι ἐπισκέψασθαι τὴν πτωχὴν Σχολὴν ἐν τῷ χωρίῳ Καβερίνῳ τοῦ δήμου Κασσήρων τοῦ κυβερνείου Τούλων, καὶ εἶδον, πῶς ἐν οὐ μεγάλῳ δώματι μεμισθωμένου οἰκήματος, οὗ τῆς στέγης ἦν δυνατὸν ἅψασθαι τῇ χειρί, εὗρον ἄσυλον ὑπὲρ τὰ 60 παιδία. Οἱ μὲν παῖδες ἐνησχολοῦντο περὶ τὴν κλειδοποιΐαν, καὶ οἱ πρεσβύτεροι ἠδύναντο ἤδη κατασκευάζειν καλὰ κλεῖθρα, αἱ δὲ κόραι ἀπὸ τοῦ ἡμίσεως τοῦ χειμῶνος ἤρξαντο διδάσκεσθαι ἐργόχειρα. Καὶ ἅπαν τοῦτο εἰσήγαγεν ὁ διδάσκαλος, ὁ ὁλοψύχως ἀφωσιωμένος τῷ ἔργῳ, ὁ διδάσκαλος, ὁ διαθεὶς πενιχρὰ χρήματα. Ἄρα ἅπαν τὸ ἔργον ἐν τῷ διδασκάλῳ—αὐτὸς ἐστὶν ἡ ψυχὴ τῆς Σχολῆς. Εἰ αὐτὸς ὀρθῶς νοεῖ ἅπαν τὸ ὕψος τῆς ἑαυτοῦ κλήσεως, δύναται πολλὰ πρᾶξαι ἐπ' ἀγαθῷ τῶν ἑαυτοῦ μαθητῶν. Αὐτὸς μεταδίδωσιν αὐτοῖς τὰς ἀρχικὰς γνώσεις· αὐτός, ὑπὸ τὴν χειραγωγίαν τοῦ ἱερέως, στηρίζει αὐτοὺς ἐν τῇ γνώσει τῶν ἀληθειῶν τῆς πίστεως, ἐμφυτεύει αὐτοῖς ἀγάπην πρὸς τὴν ἐργασίαν, τὴν τάξιν, τὸν εὐσεβῆ βίον. Συντελεῖ τῇ κανονικῇ ἀναπτύξει τῶν ἠθικῶν δυνάμεων τῶν παιδίων. Εὐνόητον αὐτῷ, ὅτι ἡ ἀληθὴς ἀνάπτυξις τῆς ἀνθρωπότητος ἐμπεριέχεται οὐχὶ ἐν ἑνὶ μόνον θριάμβῳ τῆς δυνάμεως τοῦ ἀτμοῦ ἢ τοῦ ἠλεκτρισμοῦ, ἀλλὰ καὶ ἐν τῇ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐξήσει τῆς ἠθικῆς ἰσχύος τῶν αὐξανουσῶν γενεῶν. Παράδοξον ἦν ἂν φρονεῖν, ὅτι αὐτὴ ἡ ἐξωτερικὴ ἰσχὺς τοῦ λαοῦ νοεῖται ἄνευ τῆς ἐσωτερικῆς αὐτοῦ ἰσχύος, ἀλλ' ἡ ἰσχὺς αὕτη οἰκοδομεῖται ἐπὶ τοῦ ἀσφαλοῦς θεμελίου τῆς πίστεως, ἐπὶ τοῦ θριάμβου τῶν χριστιανικῶν ἀρχῶν τῆς ἠθικῆς, ἐπὶ τῆς Σχολῆς, τῆς ἀνατρεφούσης ἐν τοῖς παιδίοις τὴν ἀγάπην πρὸς τὴν ἐργασίαν καὶ τῆς ἐνισχυούσης ἐν αὐτοῖς τὸ αἴσθημα τοῦ καθήκοντος. Ἡ ἐπίγνωσις τούτου τοῦ τελευταίου αἰσθήματος ὀφείλει ἰδίᾳ προσεῖναι ὑμῖν, τοῖς διδάσκουσιν ἐν ταῖς Σχολαῖς. Ὑμεῖς βεβαίως σύμφωνοι ἐν τούτῳ, ὅτι ὁ διδάσκαλος ἐπιτυχέστατα δύναται διδάσκειν τῷ οἰκείῳ παραδείγματι. Οἱ λόγοι καὶ αἱ ἐξηγήσεις αὐτοῦ ῥαδίως δύνανται εἰς λήθην ῥιφθῆναι, ἀλλ' οὐχ ἐπιλήσονται τὰ παιδία ἐκείνου, ὃ αὐτὸς ἐποίησεν αὐτοῖς. Διαλεγόμενος νῦν πρὸς ὑμᾶς περὶ τῆς εὐεργετικῆς παιδαγωγικῆς ἐπιδράσεως τῶν διδασκόντων, ἄκων ἀναμιμνήσκομαι ἑνὸς τῶν γνωστῶν Γερμανῶν καθηγητῶν, τοῦ διασήμου ἐρευνητοῦ τοῦ ῥωμαϊκοῦ δικαίου Ἰέρινγ. Ἐν τῇ ἀρχῇ τοῦ 1870 ἔτους ἐγὼ καὶ ὁ καθηγητὴς Διουβερνουὰ ἠκροώμεθα τῶν παραδόσεων αὐτοῦ ἐν τῷ πανεπιστημίῳ τῆς Βιέννης. Ἐν τῷ ἀκροατηρίῳ ἦμεν 420 ἀκροαταί. Ἦν ὅτε ὤφειλεν ὁ καθηγητὴς κατὰ τὸ πρόγραμμα διδάσκειν ἐπὶ τρεῖς ὥρας συνεχῶς. Ἀνεγίνωσκεν, ἢ ἀκριβέστρον εἰπεῖν, ὡμίλει κατ' ἐκείνην τὴν ἡμέραν, καλῶς, ὡς καὶ πάντοτε, ἀλλ' ἦν ὠχρὸς καὶ ἔμφροντις. Μετὰ τὴν πρώτην παράδοσιν πορευθέντες εἰς τὸ δῶμα τῶν καθηγητῶν ἐπυθόμεθα, εἰ αὐτὸς ὑγιής. Ἀπεκρίνατο ἡμῖν: «Μάλιστά γε, ἀλλ' ἡ γυνή μου ἀσθενὴς ἐπιθανατίως, παρ' αὐτῇ ἰατροσυνέδριον (consilium)». Τεταραγμένοι ταύτῃ τῇ ἀποκρίσει, ἡμεῖς, εὖ εἰδότες τὸν οἰκιακὸν βίον τοῦ καθηγητοῦ, εἴπομεν αὐτῷ: Ἴθι οἴκαδε, οἱ ἀκροαταὶ οὐ κατηγορήσουσί σου· αὐτοὶ ἐννοήσουσι, ποίαν αὐτοῖς προσήνεγκες θυσίαν, ἀφεὶς οἴκοι βαρέως ἀσθενῆ».— «Οὐχί, ἀπεκρίνατο ὁ Ἰέρινγ, ἔχω ἐν τῷ ἀκροατηρίῳ 420 ἀκροατάς, κατὰ ταύτας τὰς τρεῖς ὥρας ἐγὼ ἀνήκω αὐτοῖς καὶ οὐκ ὀφείλω διατιθέναι ἑαυτόν. Περὶ τὴν ἀρχὴν τῆς ἑπομένης ὥρας ὁ ἰατρὸς ἀνακοινώσεταί μοι περὶ τῶν ἀποτελεσμάτων τοῦ ἰατροσυνεδρίου». Ἤχησεν ἡ ὡρισμένη ὥρα, αὖθις ἐπορεύθημεν εἰς τὸ δῶμα τῶν καθηγητῶν· ἀνεμείναμεν ἐν ἀνησύχῳ διαλέξει ἐπὶ ἓν τέταρτον τῆς ὥρας· ὁ ἰατρός, ἄδηλον διατί, οὐ παρεγένετο, καὶ ὁ καθηγητὴς ἡμῶν καταπνίξας ἐν ἑαυτῷ τὴν ἐσωτερικὴν ταραχήν, ἦλθεν ἀναγνωσόμενος τὴν τρίτην παράδοσιν. Αὐτὸς οὕτως ἔπραξε κατὰ τὸ αἴσθημα τοῦ καθήκοντος καὶ βεβαίως οὐχ ἐπὶ τούτῳ, ὅπως χαρακτηρισθῇ ἐνώπιον τοῦ ἀκροατηρίου αὐτοῦ. Ἡ πρᾶξις αὐτοῦ, ἄνευ τῆς θελήσεως αὐτοῦ ἐξεφάνη, καὶ ὑμεῖς ἐννοήσετε, πόσῳ μέγα ἦν τὸ ἠθικὸν κῦρος τοῦ καθηγητοῦ, ὅς, ὢν εἷς ἐκ τῶν πρώτων σοφῶν ἐν Γερμανίᾳ, ἦν οὕτως ἀμειλίκτως αὐστηρὸς πρὸς ἑαυτὸν καὶ μετὰ τοιαύτης ἑτοιμότητος προσέφερε τὰ ἱερὰ αὐτοῦ αἰσθήματα ἀνδρὸς καὶ πατρὸς εἰς θυσίαν τῷ καθήκοντι τῆς διακονίας αὐτοῦ. Ἡ αὐταπάρνησις προσώπων παιδαγωγούντων καὶ διδασκόντων ἀεὶ ἦν καὶ ἔσται ὡς ἐχέγγυον τῆς ἐπιδράσεως αὐτῶν ἐπὶ τῶν ἐμπεπιστευμένων αὐτοῖς παιδίων. Ἀναμιμνήσκομαι τῆς διευθυντρίας ἑνὸς

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐκπαιδευτηρίου (ἰνστιτούτου), ἢ ἐπί τινας ἑβδομάδας ἐστέρει ἑαυτὴν τῆς παρηγορίας τοῦ ὁρᾶν τὴν μονογενῆ θυγατέρα, τὴν νοσήσασαν τῇ φυσικῇ φλογιάδι (εὐλογιὰ) καὶ τεθειμένην ἐν τῷ νοσοκομείῳ τοῦ ἐκπαιδευτηρίου. Ἢ ἴδετε τὴν προϊσταμένην πτωχῆς τινος ἐρημίας (ἡσυχαστηρίου)· πρὸς αὐτὴν ἄγουσιν ἀσθενῆ δεκαπέντε ἐτῶν κόρην, καθολικήν (τὸ θρήσκευμα)· ἡ ἀδελφὴ βοηθὸς τοῦ ἰατροῦ παρατηρεῖ αὐτὴν καὶ εὑρίσκει, ὅτι αὐτὴ νοσεῖ τῇ φυσικῇ φλογιᾷ. Ἡ προϊσταμένη ἀποδίδει αὐτῇ τὸ στενὸν κελλίον αὐτῆς καὶ ἀνατίθησιν αὐτὴν τῇ ἐμφρόντιδι θεραπείᾳ τῆς βοηθοῦ τοῦ ἰατροῦ μέχρι τῆς ἀναῤῥώσεως αὐτῆς. Ἡ τοιαύτη ἀγάπη πρὸς τοὺς πλησίον, αὕτη ἡ ἑτοιμότης τοῦ θυσιάζειν ἑαυτὸν ἐπ' ἀγαθῷ τῶν ἄλλων κατὰ τὸ καθῆκον τῆς διακονίας δεικνύουσι δι' ἑαυτῶν τὴν ἠθικὴν ἰσχύν, τὸ προσφιλὲς κτῆμα τοῦ χριστιανικῶς πεφωτισμένου ἀνθρώπου. Ἐνισχύετε ἐν ἑαυτοῖς ταύτην τὴν ἰσχύν, ἀναπτύσσετε αὐτὴν ἐν τοῖς παιδίοις, στηρίζετε ἐν ταῖς καρδίαις αὐτῶν τὴν ἀγάπην πρὸς τὸ καλόν, τὴν δικαιοσύνην, διατίθετε αὐτὰ πρὸς τὰ ἔργα τῆς χριστιανικῆς εὐσπλαγχνίας. Ἱστάμενοι στεῤῥῶς ἐπὶ τῶν ἀσαλεύτων βάσεων τῆς πίστεως τοῦ Χριστοῦ, ὑμεῖς, θερμανθέντες τῇ ἀγάπῃ τοῦ Χριστοῦ, συνάξετε κύκλῳ ἑαυτῶν καλὸν οἶκον χριστιανικῶν παιδίων, δεδεμένον μεθ' ὑμῶν τοῖς δεσμοῖς τῆς ἀμοιβαίας ἀγάπης. Τὸ κῦρος ὑμῶν ἔσται ἰσχυρὸν τῇ ἐπιδράσει ὑμῶν ἐπὶ τῶν παιδίων· οὐχ ἐκ φόβου τῆς ποινῆς, ἀλλ' ἐκ τοῦ μὴ βούλεσθαι καταλυπῆσαι ὑμᾶς αὐτὰ ὑπακούουσιν ὑμῖν, καὶ κατὰ τὰς ἡμέρας ἀφεύκτων πικριῶν καὶ λύπης ἐν τοῖς φωτεινοῖς ὄμμασι τῶν παιδίων ὑμῶν, ἐν τῷ καλῷ βλέμματι αὐτῶν εὑρήσετε παρηγορίαν τε καὶ ἐνθάῤῥυνσιν Εἰς τὰς καρδίας αὐτῶν τῶν παιδίων ὑμεῖς μέλλετε σπείρειν τὰς ἀρχὰς τῆς ἀγάπης, καὶ ἐν τοῖς εὐγνώμοσιν αἰσθήμασι τῶν μαθητῶν ὑμῶν εὑρήσετε ἑαυτοῖς κρείσσω ἀμοιβήν. Βοηθησάτω ὑμῖν ὁ Κύριος ἐν ταῖς πολυμόχθοις ἀσχολίαις ἐπ' ὠφελείᾳ τοῦ φωτισμοῦ τοῦ λαοῦ. Ἀφανὴς μέν, ὡς δοκεῖ, ἡ ἐργασία ὑμῶν, ἀλλ' ἡ εὐεργετικὴ αὐτῆς ἀξία ἀναμφιβόλως φανήσεται ἐν τῇ ἀναπτύξει τῶν αὐξανουσῶν γενεῶν. (См. Прибавл. къ Церков. Вѣдом. за 1899 г. № 31. Стран. 1232—1234).

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# XXVII.

## Προσφώνησις τῷ σεβασμιωτάτῳ μητροπολίτῃ Κιέβου καὶ Γαλικίας Ἰωαννικίῳ, ἐπὶ τῇ πεντηκονταετηρίδι τῆς διακονίας Αὐτοῦ τῇ ἁγίᾳ Ἐκκλησίᾳ, τὴν 7 Νοεμβρίου 1899 ἔτους, ἐν Κιέβῳ.

Προσαγορεύω τὴν Σὴν Σεβασμιότητα ἐπὶ τῇ συμπληρωθείσῃ πεντηκονταετηρίδι τῆς ἐνδόξου διακονίας Σου τῇ ἁγίᾳ Ἐκκλησίᾳ. Ἡ νῦν ἡμέρα— ἡμέρα ἐπίσημος. Σέ, τὸν πρωθιεράρχην τῆς ῥωσσικῆς Ἐκκλησίας, προσαγορεύει ἅπασα ἡ ὀρθόδοξος Ῥωσσία. Ὁ κραταιὸς Πατὴρ τῆς πατρίδος ἐκ τοῦ ὕψους τοῦ θρόνου τοῦ βασιλικοῦ ἀπέστειλέ Σοι τὴν Μοναρχικὴν Ἑαυτοῦ προσαγόρευσιν. Ὅμιλος ἱεραρχῶν ἐξ ὅλων τῶν περάτων τῆς ῥωσσικῆς γῆς συνήχθη ἐν τῷ ἀρχαίῳ Κιέβῳ καὶ ἐπεκαλέσθη ἐπὶ σὲ τὴν εὐλογίαν τοῦ Πανυψίστου. Μετ' ἰδιαιτέρας προθυμίας ἐμεγαλύνετο τὸ Σὸν ὄνομα ἐν ταῖς ἐπαρχίαις, ἐν αἷς ὁ Κύριος ἔκρινέ Σοι διανύειν τὴν ἱεραρχικὴν διακονίαν Σου. Καὶ ἡ τῆς ἀρχαίας Σιὼν καθεδρικὴ Ἐκκλησία, καὶ ὅλαι αἱ καθεδρικαὶ τῆς Μόσχας ἐκκλησίαι, καὶ ἡ Λαύρα τοῦ Ὁσίου Σεργίου, καὶ ὅλοι οἱ ναοὶ καὶ αἱ μοναὶ τούτων τῶν ἐπαρχιῶν ἀντηχήθησαν ταῖς προσευχαῖς ὑπὲρ Σοῦ, Δέσποτα ἅγιε. Ἐκ τῶν ἐγγὺς καὶ μακρὰν τόπων φέρονταί Σοι εὐχαί. Σὺ προσφιλὴς τῇ Ἐκκλησίᾳ τῆς πατρίδος, ὡς ἀρχιερεύς, κεκλημένος ἵστασθαι παρὰ τῷ πηδαλίῳ τῆς Ἐκκλησιαστικῆς κυβερνήσεως, ὡς ἱεράρχης, ἀεί, δι' ὅλου τοῦ πολυετοῦς βίου Σου, ἀναλλοιώτως δεικνύων παράδειγμα τῆς μετ' αὐταπαρνήσεως διακονίας Κυρίῳ τῷ Θεῷ καὶ τῇ ἁγίᾳ Ἐκκλησίᾳ Αὐτοῦ. Ἐκ νεότητος Σὺ ἀπεποιήσω τῶν ἐφημέρων ἀγαθῶν καὶ τῶν ἀβεβαίων χαρῶν τοῦ κόσμου τούτου· τὴν δικαιοσύνην ἠγάπησας, καὶ δικαίως εἰργάσω τῇ ἀληθείᾳ. Τὴν καρδίαν Σου ἐφύλαξας ἀπὸ γλώσσης δολίας. Οὐδέποτε προσέχεισο ταῖς κεναῖς ἐπιθυμίαις. Ἄργυρον καὶ θησαυροὺς οὐ συνῆγες, δόξαν καὶ τιμὰς οὐκ ἐζήτεις, περὶ ἑαυτοῦ οὐκ ἔλεγες καί, ὡς οἶμαι, οὐχ ἐσκέπτου. Ὁ νοῦς Σου, πτερούμενος τῇ προσευχῇ καὶ τῇ εὐσπλαγχνίᾳ, ἔφερέ Σε πόῤῥωθι τῆς ἀργῆς ματαιότητος. Ἀγαπῶν τὴν εὐπρέπειαν τῶν ναῶν τοῦ Θεοῦ, Σὺ καὶ ἐν τῇ πατρίδι Σου, καὶ ἐν Πετρουπόλει, καὶ ἐνταῦθα καὶ ἐν πᾶσι τοῖς τόποις τῆς διακονίας Σου ἀνήγειρες εἰς δόξαν Θεοῦ θαυμαστοὺς τῷ κάλλει ναούς. Εἰδὼς ἐκ προσωπικῆς πείρας τὴν θλιβερὰν τύχην τῶν τέκνων τοῦ πτωχοῦ κλήρου, Σὺ μετὰ πατρικῆς μερίμνης πανταχοῦ ᾠκοδόμεις κοινόβια παρὰ τοῖς Σεμιναρίοις καὶ ταῖς Ἐκκλησιαστικαῖς Σχολαῖς, ἵδρυες ἐπαρχιακὰ παρθεναγωγεῖα, καὶ νῦν ἐνταῦθα ἀνεγείρεις μεγαλοπρεπὲς κτίριον νέου Σεμιναρίου. Πανταχοῦ σὺ ἐπειρῶ στηρίζειν ἐν τοῖς τροφίμοις τῶν ἐκκλησιαστικῶν ἐκπαιδευτηρίων ἀγάπην πρὸς τὴν ἁγίαν Ἐκκλησίαν καὶ προθυμίαν διακονεῖν αὐτῇ. Ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

λείψει μοι ὁ χρόνος ἀπαριθμῆσαι ὅλα τὰ Σὰ καλὰ ἔργα καὶ τὰς ἐπιχειρήσεις. Μεγάλαι αἱ ἐκδουλεύσεις Σου ἐνώπιον τῆς Ἐκκλησίας τῆς πατρίδος. Τὸ ὄνομά Σου ἔσται μνημονευτὸν εἰς γενεὰς γενεῶν ἐν τοῖς κτισθεῖσιν ὑπὸ Σοῦ καθιδρύμασι. Δώῃ δέ Σοι ὁ εὔσπλαγχνος Κύριος ἔτι ἐπὶ πολλὰ ἔτη ἐργάσασθαι εἰς δόξαν τοῦ ὀνόματος Αὐτοῦ. Μηκυνέτω Αὐτὸς τὰς ἡμέρας Σου ἐν ἐγρηγόρσει πνεύματος καὶ ἰσχύϊ δυνάμεων ὑπὲρ τῆς ἁγίας Ἐκκλησίας, εἰς παραμυθίαν καὶ χαρὰν πάντων τῶν ἀγαπώντων καὶ τιμώντων Σε. (См. Прибавл. къ Церков. Вѣдом. за 1899 г. № 46. Стран. 1910—1911).

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

# ΔΙΟΡΘΩΤΕΑ.

| Σελ. | Στίχ. | | Γράφε |
|---|---|---|---|
| 9 | 7 | ἐπ | ἐπὶ |
| 11 | 26 | ευρεῖ | εὑρεῖ |
| 19 | 29 | ὁ Καθολικισμὸς | ὁ Καθολικισμὸς, |
| 22 | 30 | Τριώδιον. | Τριῴδιον. |
| 33 | 28 | ἐπιμελῖες | ἐπιμελεῖς |
| 35 | 36 | οὺς | τοὺς |
| 40 | 18 | ἔργον | ἔργον, |
| 41 | 1 | ἥσυχον | ἥσυχον γλῶσσαν |
| 45 | 1 | ἀγῶνος | ἀγῶνος, |
| 47 | 30 | ερίδων· | ἐρίδων· |
| 47 | 40 | τής | τῆς |
| 47 | 14 | ὀφειλει | ὀφείλει |
| 49 | 4 | ὀρθῇ | ὀρθῇ |
| 49 | 42 | ῶν | τῶν |
| 52 | 42 | ὑτγν | ταύτην |
| 62 | 39 | αὐτης | αὐτῆς |
| 72 | 7 | τῶ | τῷ |
| 72 | 21 | μνήμη | μνήμῃ |
| 75 | 23 | ἐκλήθη | ἐβλήθη |
| 82 | 14 | αὕτη, | αὕτη |
| 82 | 35 | τοῖς | ταῖς |
| 88 | 18 | εἰλικρινῆ | εἰλικρινεῖ |
| 91 | 34 | διδασκάλῳ | διδασκάλῳ, |
| 92 | 24 | Ἴθι | «Ἴθι |

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

## Ἄλλαι ἐκδόσεις ἐπίσης ὑπὲρ τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς καὶ ὑπὲρ τοῦ Καππαδοκικοῦ Ὀρφανοτροφείου.

Α΄.) «Περὶ ἑνώσεως τῶν Ἐκκλησιῶν ἐπὶ τῇ ἐγκυκλίῳ τοῦ Πάπα Λέοντος ΙΓ΄.» ὑπὸ τοῦ Καθηγητοῦ τῆς Ἐκκλησιαστικῆς Ἀκαδημίας τῆς Μόσχας κ. Ἀλεξάνδρου Μπελιάεφ.—Τιμᾶται 12 καπικίων ἤτοι 1$^1/_2$ γροσίου.

Β΄.) Ὁ κόμης Λέων Νικολάεβιτς Τολστόης. Σύντομος βιογραφία καὶ διδασκαλία μετὰ τῆς εἰκόνος αὐτοῦ κατὰ Εὐγένιον Σολοβιέφ. Τιμᾶται 16 καπικίων ἤτοι 2 γροσίων.

Γ΄.) ΡΩΣΣΙΚΗ ΑΓΙΟΓΡΑΦΙΑ. Ι. Ὁ ἅγιος Ἰωνᾶς, μητροπολίτης καὶ θαυματουργὸς πασῶν τῶν Ῥωσσιῶν (Ῥῶσσος Μάρκος Ἐφέσου), ὁ ἀκμάσας (1375—1461) κατὰ τοὺς χρόνους τῆς ἐν Φλωρεντίᾳ Ψευδοσυνόδου καὶ τῆς πτώσεως τῆς Κων/πόλεως, ἀφ' οὗ ἤρξατο καὶ ἡ σειρὰ τῶν αὐτοκεφάλων Ἱεραρχῶν τῆς Ῥωσσικῆς Ἐκκλησίας. Τιμᾶται 12 καπικίων ἤτοι 1$^1/_2$ γροσίου.

Δ΄.) ΙΙ. Βίος τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Σεργίου τοῦ ἐκ Ῥάδονεζ καὶ θαυματουργοῦ πασῶν τῶν Ῥωσσιῶν, συνταχθεὶς ἐξ ἀξιοπίστων πηγῶν καὶ ἀναγνωσθεὶς ἐν τῇ Λαύρᾳ αὐτοῦ κατὰ τὴν Ὁλονυκτίαν 5-ης Ἰουλίου 1822 ἔτους ὑπὸ τοῦ ἀειμνήστου ΦΙΛΑΡΕΤΟΥ, μητροπολίτου Μόσχας. Τιμᾶται 25 καπικίων ἤτοι 3 γροσίων.

Ε΄.) ΙΙΙ. Βίος τοῦ ἁγίου, εὐσεβεστάτου, μεγάλου τῆς Ῥωσσίας Ἡγεμόνος καὶ ἄρχοντος Βλαδιμηρίας καὶ Νοβογορόδου Ἀλεξάνδρου τοῦ Νεύσκη, τοῦ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθέντος Ἀλεξίου τοῦ Μοναχοῦ. Τιμᾶται 50 καπικίων, ἤτοι 6 γροσίων.

Σημ. Οἱ βουλόμενοι νὰ ἐγγραφῶσι συνδρομηταὶ παρακαλοῦνται, ὅπως, ἀκριβῶς καὶ εὐαναγνώστως σημειοῦντες τὴν αὐτῶν διεύθυνσιν Ἑλληνιστὶ ἢ Γαλλιστί, ὡς καὶ τὸ βιβλίον ὅπερ ἐπιθυμοῦσιν, εὐαρεστηθῶσιν ἐγκαίρως νὰ προειδοποιήσωσι περὶ τούτου κατὰ τὴν ἑξῆς διεύθυνσιν:

Au Révérend père THÉOPHILE PASCHALIDES, Inspecteur adjoint du Séminaire Ecclésiastique orthodoxe.

*(Russie) Saint-Pétersbourg.*

Ἱερομ. Θεόφιλος Πασχαλίδης,

Δ. τῆς Θ. καὶ Βοηθὸς τοῦ Ἐπόπτου τοῦ Ἐκκλησιαστικοῦ Σεμιναρίου Πετρουπόλεως.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ